Forgotten Books

www.forgottenbooks.com

Copyright © 2016 FB &c Ltd.
All rights reserved. No part of this publication may be reproduced, distributed, or transmitted in any form or by any means, including photocopying, recording, or other electronic or mechanical methods, without the prior written permission of the publisher, except in the case of brief quotations embodied in critical reviews and certain other noncommercial uses permitted by copyright law.

MICROFILMED 1993

BIA UNIVERSITY LIBRARIES/NEW

as part of the
ions of Western Civilization Preservatio

Funded by the
AL ENDOWMENT FOR THE HUM

tions may not be made without permiss
Columbia University Library

t law of the United States - Title 17, U
- concerns the making of photocopies
uctions of copyrighted material.

n conditions specified in the law, libra
authorized to furnish a photocopy or
. One of these specified conditions is
r other reproduction is not to be "use
er than private study, scholarship, or
f a user makes a request for, or later u
r reproduction for purposes in excess
er may be liable for copyright infringe

ion reserves the right to refuse to acce
if, in its judgement, fulfillment of the or
e violation of the copyright law.

*AUTHOR:*

AENEAS TACT

*TITLE:*

AENEAE COMMENTARI

*PLACE:*

LIPSIAE

*DATE:*

# COLUMBIA UNIVERSITY LIBRARIES
# PRESERVATION DEPARTMENT

## BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

880.8
TA11

18

Aeneas Tacticus.

Aeneae Commentarius poliorceticus; recensuit Arnoldus Hug. Lipsiae, in aedibus B.G.Teubneri, 1874.

xii, 88 p. 17½ cm.

Bound with Aelianus, Claudius. Claudii Aeliani Varia historia... 1870.

88Ae4
IE74

Another copy.

ions on Use:

---

TECHNICAL MICROFORM DATA

SIZE: 35 mm REDUCTION RATIO: 14

PLACEMENT: IA (IIA) IB IIB

FILMED: 5/23/91 INITIALS RK

BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

eter

2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm

1 2 3 4 5

1.0 4.5 5.0 5.6 6.3 7.1 8.0 9.0 2.8 3.2 3.6 4.0 2.5 2.2 2.0

1.1 1.8

1.25 1.4 1.6

88 Ae4 IE74
cop. 1

Columbia University
in the City of New York

LIBRARY

SIGILLVM COLLEGII COLVMBIAE NOVI EBORACI
IN LVMINE TVO VIDEBIMVS LVMEN

# AENEAE

# COMMENTARIUS POLIORCETICUS

RECENSUIT

ARNOLDUS HUG.

COLUMBIA COLLEGE
DEPARTMENT OF GREEK.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXIV.

THEODORO FRATRI

CARISSIMO.

# PRAEFATIO.

In Aenea Tactico constat, postquam unici testis Medicei codicis lectiones Hercheri in usum nuper denuo ab Iosepho Mueller accuratissime exploratae sunt, emendandi subsidia potissimum esse petenda e coniectura: quam saepissime adhiberi et posse et debere in hoc scriptore, cuius oratio librariorum aliorumque qui legerent et tractarent et licentia et incuria miserrime habita est, cum prioribus editionibus tum praecipue recentissima Rudolphi Hercher, quae Berolini prodiit anno MDCCCLXX, luculento profecto demonstratum est exemplo. Qui uir acutissimus cum primus intellexisset purgari posse Aeneae orationem labibus illis indignis, quibus ante eum erat commaculata, restitui posse reiectis sordibus ueram scriptoris imaginem, qualem fuisse et aetas testatur qua uixit et bona qua fruebatur apud ueteres existimatio, ego quid noua hac editione, quae pars esset bibliothecae Teubnerianae, etiam post Hercheri eximiam operam praestare posse mihi uiderer, fusius exposui libello, cui inscriptum est „Prolegomena critica ad Aeneae editionem“, edito illo ad sacra anniuersaria uniuersitatis Turicensis huius anni indicenda*). Ad haec igitur Prolegomena

ulcerato manum admouerunt". Sufficiant igitur haec. De loco perdifficili XL 7, quem interpolatori tribuo, a sententia Proleg. p. 7 proposita ita nunc discedo, ut nec lacunam post *τὸν δὲ ἕτερον ἐπὶ τῷ ἀριστερῷ* esse statuam nec soloecismum in eis quae sequuntur *καὶ οἱ ἄλλοι κατὰ ταὐτά*: correxi enim: *καὶ τὸν ἄλλον κατὰ ταὐτά* „et reliquum h. e. tertium item (h. e. item ac secundum dextro humero gerere hastam). Quod me monuit Hertlinus uir doctissimus ipseque de Aenea optime meritus in censura quam de Prolegomenis meis egit (inserta Ienens. Annal. litter. huius anni num. 29). XXXI 20 pro corrupto *τοῦτο* non licere scribere *τούτου ὧδε*, sed aut *ὧδε* solum aut *τούτου τόδε*, id ipse interim senseram; scriptum enim est in editione *τούτου γίγνοιτο* ⟨*τόδε*⟩. Idem l. l. suasit ut II 2 in eiciendis *τὸ πόλισμα* duabus uocibus subsisteretur. Quod autem contendit X 24 *ἐπιτρέπειν*, quod conieci pro corrupto *ἐπιρρεῖν*, uerum esse non posse, cum non significaret „negotiis aliquem onerare" sed „confidere alicui aliquid", id coniecturae meae obstare nego, cum amicitiae specie et honoris negotia talia imponenda esse obsidum propinquis edoceamur cum re ipsa tum *διὰ προφάσεων* et *ἀνυπόπτως* uocibus; *λειτουργίας* deinde *ἐπιτρέπειν* eodem modo dicitur ac *φυλακὴν ἐπιτρέπειν* apud Thucyd. et sim. Ad X 5 denique cum concederet Hertlinus, si, quod feci, Sauppio obtemperaremus *ἀποκινῇ* in *ἀποκτείνῃ* mutanti, esse mecum haec uerba *ἐὰν δὲ ὦσι — ἔσται* in § 16 transponenda, ratus tamen est seruari loco suo posse, si pro *ἀποκινῇ* scriberetur *αὐτοῖς κοινωνῇ*. Obstat autem huic coniecturae cum uerborum *ἃ ἑκάστῳ τούτων ἔσται* significatio, quibus non poena, sed praemium notetur, tum praecipue quod si ita uerba constitueris, ut uoluit Hertlinus, mera repetitio deprehendetur in eis quae sequuntur *καὶ ἐάν τίς τινι τῶν φυγάδων συγγένηται ἢ ἐπιστολὰς πέμψῃ ἢ δέξηται, εἶναί τινα κίνδυνον ἢ ἐπιτίμιον αὐτῷ*.

Humanissime certiorem me fecit Hercherus

XXII 11, 13. XXIII 2 (in idem incideram Prol. p. 38 nescius praeceptum iam esse ab Herchero Herm. VII p. 242). XXIV 18. XXVIII 6 (κατὰ Ἑλλήσποντον). XXIX 4. XXXI 23, 24, 28, Sauppii sententiae VIII 1. X 6. XI 7. XII 3. XVII 1, 3. XXXVIII 7; ex mea denique coniectura X 19. XVIII 9. XXI 2. XXVI 6. XXVIII 6 extr. XXXI 15, 22, 27, 31. XXXII 1. XXXIII 1. XXXV. XXXVIII 2. XXXIX 6. XL 5. Sunt autem fere omnia haec leuioris illins generis interpolationum, cuius alia exempla attuli in II cap. Prolegomenon p. 23—34. Quamquam nescio an in nonnullis, paucis quidem, horum locorum etiam longius aliquanto progredi debuerim: haud enim iniuria me quibusdam locis etiam grauiora et longiora Aeneae orationi interposita esse statuisse efficitur etiam adsensu quem hac de re et publice tuli ab Hertlino in censura supra laudata, qui doctus uir disertis nerbis me sibi persuasisse de capite XVI dixit, et priuatim epistulis ad me datis et ab Herchero et ab Adolpho Kirchhoff, uiro laude mea superiori, qui mecum consentire se adfirmauit de XVIII 13—22. Sic forfasse debebam XXII 26 etiam extrema nerba ἀκινδύνων — ὀχλεῖν expungere. In XXXIII 1 non abest suspicio quin haec sola ab Aenea profecta sint: χρὴ δὲ ταῖς προσαχθείσαις χελώναις ἐπιχεῖν πίσσαν καὶ στυππεῖον καὶ θεῖον ἐπιβάλλειν, ἔπειτα πιμπράναι ταῦτα ὧδε ceteris quotquot nerba in medio sunt eiectis. Idem enim interpolator qui in fine capitis illa ἐκ τῶν ἐγγύτατα οἰκιῶν καθαιροῦντα, quae iam Hercherus una cum aliis eiecit, hausisse uidetur ex Thuc. II 75, 4: ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες, poterat ex eodem II 77, 3 ὕλης φακέλους haurire. Caput VII non sum ausus cancellis includere quamquam in adnotatione haud dissimulaui suspectum mihi uideri totum. Suspicionem mouebat ante omnia § 3: ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, οὕτως τοῖς ἐν τῇ πόλει ⟨σημαίνειν⟩ δειπνοποιεῖσθαι· τὸ δὲ τρίτον σημαίνειν εἰς φυλακὴν ἰέναι· ὡς δὲ δεῖ ταῦτα γίγνεσθαι καὶ ὡς

αἴρειν τοὺς φρυκτούς, ἐν τῇ Παρασκευαστικῇ βίβλῳ πλειόνως εἴρηται· ὅθεν δεῖ τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν γράφειν συμβῇ. In quibus postquam Hercherus iam in dubitationem uocauit καὶ ὡς αἴρειν τοὺς φρυκτοὺς uerba, quae huc sane non pertinent, interpolationem sapere uidentur haec: ὅθεν δεῖ — συμβῇ. Quod deinde in hac paragrapho narratur idem est atque quod inuenitur XVIII 1: ὅταν δὲ οἱ ἐκπορευθέντες παραγένωνται καὶ δείλη γίγνηται, σημαίνειν δειπνοποιεῖσθαι καὶ εἰς φυλακὴν ἰέναι, hoc discrimine solo, quod quibus rebus idem signum constituendum dicitur XVIII 1, eisdem constituantur hoc loco duo diuersa (τὸ δὲ τρίτον). His uel similibus opinor difficultatibus permotus Kirchhoffius ad me scripsit se totam hanc paragraphum postea ab alio additam putare: additam autem esse, postquam errore uel alia causa capita VII (1—2) et XVIII—XXVII, quae olim sibi fuissent contigua, separata essent interpositis capp. VIII—XVII. Qua de re sibi certum esse, quamquam, ubi inserenda essent VIII—XVII, non satis liqueret. Hanc autem uiri eruditissimi et sagacissimi coniecturam de turbato quorundam capitum ordine illustrare liceat ipsis Kirchhoffii uerbis quibus de rerum ab Aenea tractatarum ordine quid sentiret mihi per litteras exposuit:

„Die Disposition der Stuecke VI—VII und XVIII—XXVII ist einfach folgende:

Organisation des Wachdienstes bei Tage (VI), Zurückberufung der waehrend des Tages in der Erntezeit ausserhalb beschaeftigten Stadtbewohner mit Sonnenuntergang (VII).

Nach deren Eintreffen 1) allgemeines Abkochen, 2) Antreten der Mannschaften zum Wachdienst waehrend der Nacht und zunaechst 3) Verschluss der Stadtthore (XVIII 1).

Details ueber Thorwachten und was damit zusammenhaengt (XVIII 2—XX 4).



Demnaechst Aufziehen
bung der Parole (XX 5).
Nachtraegliche Details
Nachtwachen, Patrouillen, pa
role (XXI—XXVII 14).
Abloesung der Wache
XXVII 15)."
Inde igitur cum mecum
is quae eicienda esse dixi
3—22. XX 1. XXI 1. X
XXII 25 sese dubitare). XXII
XXVI 9, 10. XXVII 3, se t
etiam XXVII 15 remouere u
mir keine Schwierigkeiten be
nothwendig brauche"; ceteru
XXIII in falsum locum irrep
iudicium reseruare de XXIII
tribuissem; addendum deind
ante πόρρω aduerbium esse
Haec Kirchhoffius; que
illud XVIII 1, quod spectare
libet de causa e. gr. etiam
interdiu profecti sint, expli
VII frumentatum ex urbe
ganti autem huic coniectur
spero fore, Kirchhoffio placu
turbato quem putat rerum tr
cile poterit, ut in eius parte
minus statim accedam prohibe
non uidetur in sola § 3 capiti
subsisti. Hanc enim si exe
spectet illud πρῶτον μὲν §
respondere ei ἐὰν δὲ — πόλι
qui πρῶτον μὲν scripsit uideat
uoluisse secundum (σημαίν
tertium (τὸ δὲ τρίτον — εἰς
id quidem et contra rationem
nec tertium signum pertinet a

reuocandos, quod expectatur post *τούτους δ' οὖν εἰς τὴν πόλιν ἀθροίζειν ὧδε χρή*. At enim non aliena sunt talia a quorundam interpolatorum ingeniis; si ab Aenea profectas putemus § 1 et 2, tum necess habeo *πρῶτον μὲν* illud eidem homini tribuere qu de suo addiderit totam § 3. Nec diffiteor me praeterea offendere in uerbis: *ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται εἰς τὴν πόλιν*, quae futilem sapiunt loquacitatem. Nec credibile mihi uidetur quaque uespera *διαδεκτῆρας* signorum eo tantum consilio ex urbe longius mitti, ut eis qui sint in agris nuntietur, quod profecto suis oculis uident, adpropinquare solis occasum. Quibus omnibus adducor ut potius totum caput compositum ab interpolatore putem, qui usus sit et capite VI (uide inprimis § 4: *διαδεκτῆρας*) et capitis XVIII initio: exemplis enim illustrare uolebat signa non solum dari extra urbem, quae in urbe co gnoscerentur, sed dari etiam in urbe ipsa.

Universam autem commentarii poliorcetici dispositionem, antequam comperissem Kirchhoffio ordinem capitum a libris traditum in suspicionem uenisse, talem fere repraesentaueram, ut Aeneas quodammodo temporum nices secutus sit, non diei uel noctis discrimina (quamquam in singulis partibus id facile fieri poterat), sed interualla quibus hostes distarent ab urbe oppugnanda:

I. Bellum urbi indicitur uel imminet; urbs parat defensionem I—XIV.
   1) defensorum genera constituuntur I—VI (V agitur de portarum custodibus, VI de hemeroscopis). [VII delendum.]
   2) aditus per agros hostibus impeditur VIII. [IX delendum.]
   3) edicta ad disciplinam publicam inter periculum spectantia X—XIV.

II. Hostes agros urbis intrauerunt (XV 1: *ἄν τι ἀγγελθῇ ἢ πυρσευθῇ βοηθείας δεόμενον*) XV—XX

# ΑΙΝΕΙΟΥ

## ΤΙΚΟΝ ΥΠΟΜΝΗΜΑ

### Ι ΤΟΥ ΠΩΣ ΧΡΗ ΠΟΛΙΟΡΚΟΥΜΕΝΟΥΣ ΑΝΤΕΧΕΙΝ.

, Hug.

νατοὶ ὄντες ὑπηρετεῖν. εἶναι δὲ αὐτοὺς εὔνους τε 6
καὶ τοῖς καθεστηκόσι πράγμασιν ἀρεσκομένους· μέγα
γὰρ ἂν πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀγαθὸν
ὑπάρχοι ἐν πολιορκίᾳ· φόβος γὰρ ἂν εἴη τοῖς ἐναντία
θέλουσιν ἐν τῇ πόλει. ἡγεμὼν δὲ καὶ ἐπιμελητὴς 7
αὐτῶν ⟨ἀνὴρ⟩ ἔστω τά τε ἄλλα φρόνιμος καὶ εὔρωστος,
καὶ ᾧ ἂν πλεῖστοι κίνδυνοι εἶεν μεταβολῆς γενομένης.
τῶν δὲ λοιπῶν τοὺς ῥωμαλεωτάτους ἡλικίᾳ ἐκλέξαντα 8
ἐπὶ τὰς φυλακὰς καθιστάναι καὶ τὰ τείχη, τῶν δὲ
ὄχλων τοὺς μὲν εἰς τὴν ἀγοράν, τοὺς δὲ εἰς τὸ θέατρον, τοὺς δὲ ἄλλους εἰς ἄλλας οὔσας ἐν τῇ πόλει εὐρυχωρίας, ἵνα μηδὲν ἔρημον ᾖ εἰς δύναμιν τῆς πόλεως.

Ἄριστον δὲ τὰς ἀχρείους οὔσας εὐρυχωρίας, ἵνα 2
μὴ σωμάτων εἰς αὐτὰς δέῃ, τυφλοῦν ταφρεύοντα καὶ
ὡς μάλιστα ἀβάτους ποιοῦντα τοῖς νεωτερίζειν βουλο-
μένοις καὶ προκαταλαμβάνειν αὐτάς. Λακεδαιμόνιοι 2
δὴ Θηβαίων ἐμβαλόντων ἔκ τε τῶν ἐγγυτάτω οἰκιῶν ξύλα λύσαντες καὶ ἐκ τῶν αἱμασιῶν καὶ τειχίων ἄλλοι κατ' ἄλλους τόπους φορμοὺς γῆς καὶ λίθων πληρώ-

---

1. ὄντες deleri uult H ‖ 2. μέγα γὰρ ἂν πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀγαθὸν ὑπάρχοι ἐν πολιορκίᾳ H coll. X 20: μέγα γὰρ πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀθρόον ὑπάρχον ἀντ' ἀκροπόλεως M (μέγα γὰρ πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο τὸ ἀθρόον ⟨ἀγαθὸν⟩ ὑπάρχοι ἂν ἀντ' ἀκροπόλεως T) ‖ 5. ἐπιμελητὴς H: ὁ ἐπιμελητὴς M ‖ 6. ἀνὴρ inserui auctore H ‖ 8. Post ἡλικίᾳ in M est καὶ νεότητι: expunxit Hertlinus ‖ 9. Post τείχη in M est τὸ δὲ περιὸν πλῆθος μερίσαντα πρὸς τὸ μῆκος τῶν νυκτῶν καὶ τῶν φυλάκων τὸ πλῆθος κατανεῖμαι: expunxit H ‖ 11. εἰς ἄλλας scripsi coll. III 5, XXIX 10: εἰς τὰς M ‖ 14. ἄριστον δὲ O: ἄχρηστον δὲ εἰς M | Post εὐρυχωρίας in M est ἐν τῇ πόλει: expunxit H ‖ 15. τύφλουν M ‖ 18. δὴ Sauppius: δὲ M (cf. ad XXXI 33) ‖ 19. ξύλα λύσαντες H: διαλύοντες M (χεράδια λύοντες Haasius, πλινθία λύοντες T, ἰκρία λ. Hauptius) | τειχίων Meinekius: τειχῶν M ‖ 20. πληρώσαντες H: πληροῦντες M

σαντες, φασὶ δὲ καὶ ⟨ὅτι⟩ τοῖς ἐκ τῶν ἱερῶν χαλκοῖς
τρίποσι χρησάμενοι καὶ τούτοις προαποπληρώσαντες
τάς τε εἰσβολὰς καὶ τὰς διόδους καὶ τὰ εὐρύχωρα τοῦ
πολίσματος ἐκώλυσαν τοὺς εἰσβάλλειν ἐπιχειροῦντας
3 [εἰς αὐτὸ τὸ πόλισμα]. Πλαταιεῖς δὲ ἐπεὶ ᾔσθοντο
νυκτὸς ἐν τῇ πόλει Θηβαίους ὄντας, κατανοήσαντες
οὐ πολλοὺς αὐτοὺς ὄντας οὐδὲ ἔργων τῶν προσ-
ηκόντων ἁπτομένους, οἰομένους γε μέντοι κατέχειν τὴν
πόλιν, ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατήσειν. τεχνά-
4 ζουσιν οὖν εὐθέως τοιόνδε. τῶν ἀρχόντων οἱ μὲν
ὁμολογίας ἐποιοῦντο τοῖς Θηβαίοις ἐν τῇ ἀγορᾷ, οἱ
δὲ παρήγγελλον κρύφα τοῖς ἄλλοις πολίταις σποράδην
μὲν ἐκ τῶν οἰκιῶν μὴ ἐξιέναι, καθ' ἕνα δὲ καὶ δύο
τοὺς κοινοὺς τοίχους διορύττοντας λαθραίως παρ'
5 ἀλλήλους ἀθροίζεσθαι. ἑτοιμασθέντος δὲ πλήθους
ἀξιομάχου τὰς μὲν διόδους καὶ τὰς ῥύμας ἐτύφλωσαν
ἁμάξαις ἄνευ ⟨τῶν⟩ ὑποζυγίων, ἀπὸ δὲ σημείου ἀθροι-
6 σθέντες ἐφέροντο ἐπὶ τοὺς Θηβαίους. ἅμα δὲ τούτοις
τὰ γύναια καὶ οἱ οἰκέται ἦσαν ἐπὶ τοῖς κεράμοις, ὥστε
βουλομένων τῶν Θηβαίων πράσσειν ⟨τι⟩ καὶ ἀμύνεσθαι
ἐν σκότει, οὐκ ἐλάττω ἀπὸ τῶν ἁμαξῶν βλάβην ἢ
ἀπὸ τῶν προσκειμένων αὐτοῖς ἀνθρώπων γενέσθαι.
οἱ μὲν γὰρ ⟨ἔφυγον⟩ ἄπειροι ὄντες ᾗ χρὴ σωθῆναι, οἱ
7 δὲ ἐμπείρως διώκοντες πάνυ πολλοὺς ἔφθειραν. [ἐξοι-

---

1. ὅτι addidit H ‖ 2. Post τρίποσι (ν) in *M* est ὄντων πολλῶν καὶ μεγάλων: expunxit H ‖ 5. εἰς αὐτὸ τὸ πόλισμα inclusi ‖ 13. καθένα *M* ‖ 16. τοὺς μὲν *M* ‖ 17. τῶν addidit H | ἀπὸ Hertlinus: ὑπὸ *M* ‖ 20. τι post πράσσειν addidit H cf. X 25, XII 2, XXII 5 ‖ 21. ἀπὸ H: ὑπὸ *M* | ἀμαξῶν *M* ‖ 22. ἀπὸ H: ὑπὸ *M* ‖ 23. ἔφυγον ex Thuc. II 4 addidit H (ἠπόρουν T, ἠποροῦντο Kirchhoffius, item Hauptius sed eiectis ἄπειροι ὄντες) | Inter σωθῆναι et οἱ δὲ in *M* est διὰ τὰς φράξεις τῶν ἁμαξῶν: expunxit H ‖ 24. πάνυ H: ταχὺ *M* | διέφθειραν scribi uult Kirchhoffius | ἐξοιστέον — pg. 7, 9 ἐν τῇ πόλει inclusi cf. XXVI 10.

*πρὸς ἀλλήλους ὦσι, κατὰ ἀνάβασιν ἑκάστην τοῦ τείχους δεῖ ἐπιστῆσαι ἄνδρας πιστούς, οἳ κωλυταὶ*
4 *ἔσονται, ἄν τις ἐπιχειρῇ ἄλλος ἀναβαίνειν. ἐν εἰρήνῃ δὲ* [καὶ] *ὧδε χρὴ συντετάχθαι τοὺς πολίτας. πρῶτον μὲν ῥύμης ἑκάστης ἀποδεῖξαι ῥυμάρχην ἄνδρα τὸν ἐπιεικέστατόν τε καὶ φρονιμώτατον, πρὸς ὅν, ἐάν τι ἀπροσδοκήτως νυκτὸς γένηται, συναθροισθήσονται.*
5 *χρὴ δὲ τὰς ἐγγυτάτω ῥύμας τῆς ἀγορᾶς εἰς τὴν ἀγορὰν ἄγειν τοὺς ῥυμάρχας, τοῦ δὲ θεάτρου τὰς ἐγγυτάτω ῥύμας εἰς τὸ θέατρον, εἴς τε τὰς ἄλλας τὰς ἑκάστου ἐγγυτάτω εὐρυχωρίας ἀθροίζεσθαι τοὺς ῥυμάρχας μετὰ*
6 *τῶν ἐξενεγκαμένων παρ' αὐτοὺς τὰ ὅπλα· οὕτω γὰρ ἂν τάχιστα ἔς τε τοὺς προσήκοντας ἕκαστοι τόπους ἀφίκοιντο, καὶ ἐγγυτάτω τῶν σφετέρων οἴκων εἶεν,* [διαπέμποιέν τε ἂν οἰκονομοῦντες πρὸς τοὺς κατ' οἶκον τέκνα καὶ γυναῖκας, οὐ πρόσω αὐτῶν διατελοῦντες].

**4** *Ἔπειτα δεῖ αὐτοῖς πεποιῆσθαι σύσσημα, ἀφ' ὧν μὴ ἀγνοήσουσι τοὺς προσιόντας αὐτοῖς· ἤδη γὰρ τοιόνδε συνέβη. Χαλκὶς ἡ ἐν Εὐρίπῳ κατελήφθη ὑπὸ φυγάδων ὁρμωμένων ἐξ Ἐρετρίας, τῶν ἐν τῇ πόλει τινὸς τεχνασαμένου τοιόνδε. κατὰ τὸ ἐρημότατον τῆς*

---

1. *ἀλλήλους* C: *ἄλλους* *M* ‖ 4. *καὶ* deleri uult H ‖ 5. *ῥύμαρχον* malit H, item 9 et 11 *ῥυμάρχους* ‖ 8. *ἐγγυτάτω* H: *ἐγγυτάτας* *M* ‖ 10. *εἰς δὲ* malit H | *ἄλλας τὰς ἑκάστου ἐγγυτάτω εὐρυχωρίας* Sauppius: *ἄλλας ἕκαστον ἐγγύτατα εὐρυχωρίας* *M* (*ἑκάστοθεν ἐγγύτατα* T, *ἕκαστον ἐγγύτατα* expungi uult H) ‖ 15. *διαπέμποιέν τε* — 16 *διατελοῦντες* inclusi; *τέκνα καὶ γυναῖκας* sola deleuit H ‖ 16. Post *διατελοῦντες* in *M* est *τῶν τε ἀρχόντων δεῖ προκεκληρῶσθαι εἰς ὃν ἕκαστοι τόπον ἐλθόντες τῶν συλλεγέντων ἐπὶ τὰ τείχη ἀποστελοῦσι καὶ τῶν λοιπῶν ἕνεκα ἐπιμελείας ἡγεμόνες ἔσονται ἄνπερ εὐθὺς ἡγεμονεύσωσιν ὧδε:* expunxit H ‖ 17. *Ἔπειτα δεῖ αὐτοῖς* Sauppius: *εὐθύτατα δὲ αὐτοῖς* *M* (*εὐθὺ τοιαῦτα δεῖ αὐτοῖς* Meinekius, *ἔπειτα οὕτω* H) ‖ 19. *ἐνευρίπω* *M* | *ὑπὸ φυγάδων ὁρμωμένων* Kirchhoffius: *ὑπὸ φυγάδος ὁρμωμένου* *M* ‖ 20. *Ἐρετρίας* Meinekius: *ἐρετρείας* *M*

*ὡς ἐκ πλείστου ⟨τὰ⟩ τῶν ἀπόντων οἱ ὑπομένοντες
εἰδῶσι· μέγα γὰρ ἂν φέροι πρὸς τὸ μέλλον ἐκ πλείονος
7 παρασκευάζεσθαι. τοῖς δὲ μὴ οὕτω πράττουσιν ἃ συμ-
βέβηκεν ἐμφανισθήσεται ⟨ἐκ⟩ τῶν ἤδη γενομένων* [ἵνα
8 ἐπὶ παραδείγματος καὶ μαρτυρίου καθαροῦ παραλέγηται]. *Πει-
σιστράτῳ γὰρ Ἀθηναίων στρατηγοῦντι ἐξηγγέλθη
ὅτι οἱ ἐκ Μεγάρων ἐπιχειροῖεν ἀφικόμενοι πλοίοις
ἐπιθέσθαι νυκτὸς ταῖς τῶν Ἀθηναίων γυναιξί,
θεσμοφόρια ἀγούσαις ἐν Ἐλευσῖνι· ὁ δὲ Πεισίστρατος
9 ἀκούσας προενήδρευσεν. ἐπεὶ δὲ οἱ ἐκ τῶν Μεγάρων
ὡς λεληθότες ἀπέβησαν καὶ ἀπὸ τῆς θαλάττης ἐγέ-
νοντο, ἐξαναστὰς ὁ Πεισίστρατος τῶν ἐνεδρῶν τῶν
τε ἀνδρῶν διέφθειρε τοὺς πλείστους, καὶ τῶν πλοίων
10 οἷς ἀφίκοντο ἐγκρατὴς ἐγένετο. ἔπειτα παραχρῆμα
τοῖς ἑαυτοῦ στρατιώταις πληρώσας τὰ πλοῖα ἔλαβε
τῶν γυναικῶν τὰς ἐπιτηδειοτάτας συμπλεῖσαι, καὶ
κατήγετο εἰς τὰ Μέγαρα ὀψὲ ἀπωτέρω τῆς πόλεως.
11 κατιδόντες οὖν τὰ πλοῖα προσπλέοντα ἀπήντων πολλοὶ
τῶν Μεγαρέων, αἵ τε συναρχίαι καὶ ἄλλοι, θεασόμενοι
ὡς εἰκὸς αἰχμαλώτους ἀγομένας ὡς πλείστας * * καὶ
μετ' ἐγχειριδίων ἀποβάντας τοὺς μὲν καταβαλεῖν,
ὅσους δὲ ἂν δύναιντο τῶν ἐπιφανεστάτων συναρπάζειν
εἰς τὰ πλοῖα. καὶ οὕτως ἐπράχθη.*

---

1. *τὰ τῶν ἀπόντων* Hauptius: *τῶν ἀπόντων M* ‖ 2. *εἰδῶσι* Kirchhoffius: *ἴδωσιν M*; cf. XV 5 ‖ 3. *συμβέβηκεν*] malim *συμβαίη ἂν* ‖ 4. *ἐκ* ante *τῶν* addidit C | *ἵνα* — 5 *παραλέγηται* inclusi auctore H (post *ἐμφανισθήσεται* 'T' scripserunt: *ἂν τῶν ἤδη γενομένων ἓν ἐπὶ παραδείγματος καὶ μαρτυρίου καθαροῦ προσλέγηται*) ‖ 7. Post *Μεγάρων* in *M* est *οἳ*: expunxit Co. O ‖ 10. *προενήδρευσεν* C: *προσενήδρευσεν M* ‖ 12. *τῶν ἐνεδρῶν τῶν* Kirchhoffius: *τῶν ἐνεδρευόντων M* | Inter *τῶν τε ἀνδρῶν* et *διέφθειρε* in *M* est *ἐκράτησεν καί*: expunxit H ‖ 13. *διέφθειρεν M* ‖ 19. In *M* ante *ἄλλοι* est *οἱ*: expunxit H | *θεασόμενοι* Kirchhoffius: *θεώμενοι M* ‖ 20. lacunam indicauit C, excidisse putans *ὃ δὲ ἐκέλευσε* ‖ 23. Post *καὶ οὕτως ἐπράχθη M* habet

σημαίνειν ἀπιέναι εἰς τὴν πόλιν· ἐὰν δὲ ἐπὶ πλέον
τῆς χώρας ἐσκεδασμένοι ὦσιν, ὑπὸ διαδεκτήρων ση-
μαίνεσθαι, ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται
εἰς ⟨τὴν⟩ πόλιν. ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, 3
οὕτως τοῖς ἐν τῇ πόλει ⟨σημαίνειν⟩ δειπνοποιεῖσθαι·
τὸ δὲ τρίτον σημαίνειν εἰς φυλακὴν ἰέναι. ὡς δὲ δεῖ 4
ταῦτα γίγνεσθαι καὶ ὡς αἴρειν τοὺς φρυκτούς, ἐν
τῇ Παρασκευαστικῇ βίβλῳ πλειόνως εἴρηται. ὅθεν δεῖ
τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν
γράφειν συμβῇ.

Μετὰ δὲ ταῦτα [εἰς τὴν χώραν] προσδεχόμενον 8
πλείω καὶ μείζω δύναμιν πολεμίων πρῶτον μὲν τὴν
χώραν δυσείσβολον τοῖς πολεμίοις καὶ δυσστρατοπέ-
δευτον καὶ δυσπόρευτον κατασκευάζειν καὶ τοὺς πο-
ταμοὺς δυσδιαβάτους καὶ δύσπλους. πρός τε τὰς 2
ἀποβάσεις τῶν πολεμίων εἰς τὰ ψαμμώδη καὶ στερεὰ
ὅσα καὶ οἷα χρὴ κατασκευάζεσθαι δολώματα τοῖς
ἀποβαίνουσι, τοῖς τε ἐν τῇ χώρᾳ καὶ τῇ πόλει λι-
μέσιν οἷα δεῖ φράγματα παρασκευάζεσθαι πρὸς τὸ
μὴ εἰσπλεῖν ἢ τὰ εἰσπλεύσαντα μὴ δύνασθαι ἐκπλεῦσαι,
τά τε καταλιμπανόμενα μὲν ἐν τῇ χώρᾳ ἀκουσίως 3

3. *παραγίνωνται M* || 4. *τὴν* ante *πόλιν* add. H || 5. *τοῖς ἐν τῇ πόλει σημαίνειν δειπνοποιεῖσθαι* H: *τοῖς ἐν τῇ πόλει δειπνοποιεῖσθαι M* (post *πόλει* addi uult *δεῖ σημαίνειν* C) || 6. Post *ἰέναι* in *M* est *καὶ καθιστάναι*: expunxit H (*καθεστάναι* Hertlinus) || 7. *ταῦτα* H: *τούτους M* (*τοῦτο* C) | *γίνεσθαι M* | *καὶ ὡς αἴρειν τοὺς φρυκτοὺς* ab interpolatore profectum esse suspicatur H, mihi totum caput VII suspectum: ad § 3 conf. XVIII 1 et XX 5 || 8. *πλειόνως* (*τελέως* H, *διὰ πλειόνων* Sauppius) || 9. *μὴ δὶς* C: *μηδεὶς M* || 11. *εἰς τὴν χώραν* inclusit Sauppius || 13. *δυσείσβολον* H: *δυσεπίβολον εἶναι M* (*δυσεπίβολον ὡς δεῖ* T) | *δυσενστρατοπέδευτον* Meinekius || 14. *δυσπόρευτον* H: *δυσπροσπόριστον M* || 15. *δύσπλους* H: *πλείους M* (*ἀπλεύστους* O, *ἀπλοίους* Meinekius, *ἑλείους* Hauptius) || 16. *εἴς τε ψαμμώδη* Meinekius || 17. Post *οἷα* in *M* est *εἰς τούτους*: expunxit H || 21. *μὲν* add. H | *ἀκουσίως* T: *ἑκουσίως M*

*εἰς χρείαν δὲ φέροντα τοῖς ἐναντίοις, οἷον ⟨τὰ⟩ πρὸς*
4 *τειχοποιίαν ἢ σκηνοποιίαν ἢ ἄλλην τινὰ πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν, καὶ τὰ κατὰ τὴν χώραν στάσιμα ὕδατα ὡς ἄποτα δεῖ ποιεῖν, τά τε ἱππάσιμα*
5 *τῆς χώρας ὡς δεῖ ἄνιππα ποιεῖν, περὶ οὖν τούτων πάντων ὧδε μέν μοι παραλείπεται, γέγραπται δὲ τελέως περὶ αὐτῶν ἐν τῇ Παρασκευαστικῇ βίβλῳ.*

9 [Ἂν δὲ θρασύνεσθαί τι ἐπιχειρῶσιν οἱ ἐπιόντες πρός σε, τάδε ποιητέον. πρῶτον μὲν χρὴ σώμασι τόπους τινὰς τῆς οἰκείας χώρας καταλαβεῖν, ἔπειτα ἐκκλησιάσαντα τοὺς σεαυτοῦ στρατιώτας ἢ πολίτας ἄλλα τε προειπεῖν αὐτοῖς, ὡς ὑπαρξούσης τινὸς αὐτοῖς πράξεως εἰς τοὺς πολεμίους, καὶ ὅταν νυκτὸς σημήνῃ τῇ σάλπιγγι, ἑτοίμους εἶναι τοὺς ἐν τῇ ἡλικίᾳ, ἀναλαβόντας τὰ ὅπλα καὶ ἀθροισθέντας εἰς χωρίον ῥητὸν ἕπεσθαι τῷ ἡγου-
2 μένῳ. διαγγελθέντων οὖν τούτων εἰς τὸ στρατόπεδον τῶν πολεμίων ἢ τὴν πόλιν, δύνασαι ἀποτρέψαι ὧν ἐπιχειροῦσι πράσσειν.
3 τούτων δὲ οὕτω πραχθέντων τοῖς μὲν φιλίοις θάρσος ἐμποιήσεις, ὥστε ἐπιχειρεῖν· τοῖς δὲ πολεμίοις φόβον ἐμπαρασκευάσεις, ὥστε ἐπὶ τῆς αὑτῶν ἠρεμεῖν.]

---

1. *οἷον τὰ πρὸς τειχοποιίαν* H: *οἷον πρός τε τειχ.* *M* ‖ 2. *ἢ ἄλλην τινὰ πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν* H: *ἢ ἄλλην τινὰ πρᾶξιν ὡς δὴ ἀρχεῖα ποιεῖν ἢ φθείροντα ἀφανίζειν τά τε βρωτὰ — ἔγκαρπα* *M* (*ὡς δεῖ* C; idem coniecerat *π.* *φθείροντα ἢ ἀφανίζειν*; *ποιεῖν ἢ μὴ φθείροντα ἀφ.* Haasius) ‖ 4. *καὶ τὰ κατὰ τὴν* H: *καὶ τὰ ἄλλα κατὰ τὴν* *M* ‖ 6. *περὶ οὖν* H: *περὶ μὲν οὖν* *M* ‖ 7. *ὧδε* *M* | *μέν μοι* H: *μὲν νῦν* *M* | Post *παραλείπεται* in *M* est *ὡς δεῖ ἕκαστον τούτων γίνεσθαι ἵνα μὴ καὶ ταῦτα λίαν πολλὰ δηλοῦται*: expunxit H (*πολλαχῇ* pro *πολλὰ* T, *δηλῶται* Co. O) ‖ 9. Totum caput IX inclusi, eidem interpolatori tribuens qui XVI 1—13, 19—22 scripsit. Eiusdem esse suspicor XVIII 13—19. XXIII 7—11 et alia minora. Vide Prolegomena mea ad Aeneam ‖ 11. *σεαυτοῦ* H: *αὐτοῦ* *M* ‖ 12. *ὑπαρξούσης* Sauppius: *ὑπαρχούσης* *M* ‖ 13. *σημήνῃ* Hertlinus: *σημάνῃ* *M* ‖ 14. *τε* post *ἀναλαβόντας* inseri uult H ‖ 17. *δύνασαι* Hertlinus: *δύνανται* *M* | *ἐπιχειροῦσι* H: *ἐπιχειρῶσι* *M* ‖ 18. *ἐμποιήσεις ὥστε ἐπιχειρεῖν* H: *ἐμποιήσειας ἐπιχειρεῖν τι ἄλλου δεδιὼς* *M* (*ἐμποιήσεις ὡς ἐπιχειρῶν τι ἀλλ' οὐ δεδιώς* T) ‖ 19. *ὥστε* add. C ‖ 20. *αὐτῶν* *M*

7 πρὸς οὓς οἰσθήσονται πρότερον. ὅπλα οἷς ἐστὶν
ἑνὸς πλείω ἀπογράφεσθαι, καὶ εἰσάγειν μηδένα μηδὲν
ὅπλον, μηδὲ ἐνέχυρον δέχεσθαι. στρατιώτας μὴ μι-
σθοῦσθαι μηδὲ ἑαυτὸν μισθοῦν ἄνευ ⟨τῶν⟩ ἀρχόντων.
8 ἐκπλεῖν μηδένα ἀστῶν μηδὲ μέτοικον ἄνευ συμβόλου,
τά τε πλοῖα ⟨μὴ⟩ ὁρμίζεσθαι κατὰ τὰς πύλας, ὡς ἐν
9 τοῖς ἐχομένοις ῥηθήσεται. ξένους τοὺς ἀφικνουμένους
τὰ ὅπλα ἐμφανῆ καὶ πρόχειρα φέρειν, καὶ εὐθὺς
αὐτῶν παραιρεῖσθαι, καὶ αὐτοὺς μηδένα ὑποδέχεσθαι
μηδὲ τοὺς πανδοκέας ἄνευ τῶν ἀρχόντων, τοὺς δὲ
ἄρχοντας ἀπογράφεσθαι καὶ παρ᾿ ᾧτινι ἂν κατ-
10 άγωνται. τὰς δὲ νύκτας ὑπὸ τῶν ἀρχόντων τὰ παν-
δοκεῖα ἔξωθεν κλείεσθαι· διὰ χρόνου δέ τινος, ὅσοι
ἂν ταλαιπείριοι αὐτῶν ὦσιν, ἐκκηρύττεσθαι. ὁμοτρό-
πως δὲ καὶ τοὺς κατὰ παίδευσιν ἢ κατ᾿ ἄλλην τινὰ
11 χρείαν ἐπιδημοῦντας ἀπογράφεσθαι. ταῖς δὲ δημοσίᾳ
ἀφικνουμέναις πρεσβείαις ἀπὸ πόλεων ἢ στρατοπέδων

---

1. *πρὸς οὓς* cod. Cas.: *προὺς M* | *οἰσθήσονται* T: *οἰσθήσεται M* ‖ 2. *εἰσάγειν* Kirchhoffius: *ἐξάγειν M* ‖ 4. *τῶν* ante *ἀρχόντων* inseruit H ‖ 6. Post *πλοῖα* in *M* est *προσηγγέλθαι*: expunxit H (*παρηγγέλθαι* Hertlinus) | *μὴ* inserui | *κατὰ τὰς πύλας, ὡς ἐν τοῖς ἐχομένοις ῥηθήσεται* scripsi. (Fortasse *τοῖς ἐχομένοις ῥηθήσεται* ut marginalis nota expungenda. Confer XXVIII 2 *ἔτι τε μηδὲ πλοῖα κατ᾿ αὐτὰς* [h. e. *πύλας*] *ὁρμίζεσθαι*): *ὁρμίζεσθαι καθ᾿ ἃς πύλας τοῖς ἐχομένοις ῥηθήσεται M* (*ἐν* ante *ἐχομένοις* addidit H) ‖ 8. *εὐθὺς* H: *εὐθὺ M* ‖ 9. *παραιρεῖσθαι* Reiskius: *παρῆσθαι M* (*παρηρῆσθαι* C) cf. XXX 2 | *αὐτοὺς μηδένα M*, quod seruaui: (*αὐτῶν μηδ.* T et H) ‖ 10. *πανδοκέας* Meinekius: *πανδοχέας M* ‖ 11. *παρ᾿ ᾧτινι* C: *παρ᾿ ᾧτινι* C: *παρ᾿ ᾧ τινες M* | *ἂν κατάγωνται* H: *ὅτ᾿ ἂν κατάγωνται M* (*καὶ ὅθεν κατάγονται* O, *οἵ τινες ἂν κατάγωνται* omisso *καὶ* ante *παρ᾿ ᾧ τινι* Meierus, *καὶ ὅταν κατάγωνται* T) ‖ 12. *πανδοκεῖα* Meinekius: *πανδοχεῖα M* ‖ 14. *ὦσιν* cod. C: *ὦσει M* | *ὁμοτρόπως δὲ καὶ* H: *ὁμόρους δὲ ἢ M* (*ὁμήρους δὲ ἢ* T, *ἐμπόρους δὲ ἢ* Hauptius) ‖ 16. *δημοσίᾳ* C: *δημοσίαις M* ‖ 17. In *M* post *πόλεως* est *ἢ τυράννων*: expunxit H

ἐποιήσαντο.

Ἔτι δὲ καὶ τῶν πολιτῶν τοῖς ἀντιπροθυμουμέ- 1
νοις προσέχειν τὸν νοῦν καὶ μηδὲν εὐθέως ἀποδέ-
2 χεσθαι [διὰ τάδε]. ῥηθήσονται δὲ ἑξῆς αἱ ἐπιβουλαὶ

---

1. πράξουσιν *M* ‖ 2. προειδέναι *M* (προειδότας scripsit H) | καὶ — ἡμέραν inclusi (ἢ post ἡμέραν inseri uult H) | ἐπισφῶν *M* | διατελοῦντας H: διατηροῦντας *M* ‖ 3. ἐπ' ἄλλαις Meierus: ἐπ' ἄλλας *M* ‖ 4. λειτουργιῶν αὐτοῖς πλῆθος H: λειτουργίας αὐτοῖς τὸ πλῆθος *M* | ἐπιτρέπειν scripsi: ἐπιρρεῖν *M* (ἐπιρριπτεῖν H) ‖ 5. Post ἀνυπόπτως in *M* est μεθ' ὧν ὄντες ἐν φυλακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι: expunxit H | εἰς παρατήρησιν H: ὡσεὶ παρὰ τρισὶν *M* (ὡς εἷς παρὰ τρισὶν C, ὡς εἰς παρατήρησιν T) ‖ 7. μὴ δὲ *M* | ἐκκοιτίας H: κοίτας *M* ‖ 8. ἐπιφέρεσθαι H: φέρεσθαι *M* | μὴ δὲ *M* ‖ 9. ἐξείργοντο Reiskius: ἐξείργονται *M* | μὴ δὲ *M* | ἔχοντες H: θέλοντες *M* ‖ 10. μὴ δὲ *M* | ἐτέχνασαν H: τεχνάζουσι *M* ‖ 11. ἐν H: σὺν *M* | καλάθοις Co. O: ἀκολούθοις *M* | ἐπιφερόμενοι H: φερομένοις *M* ‖ 13. Post λαμπτῆρας in *M* est ἵνα δὲ πρός τι κοιτασθῶσιν: expunxit H | διὰ τούτων τῶν φεγγῶν σύσσημα ἐποιήσαντο H: τοῦτον τὸν φεγγαῖον σύσσημον ἐποιήσαντο *M* ‖ 14. Post ἐποιήσαντο in *M* est διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν: expunxit H ‖ 15. τοῖς ἀντιπροθυμουμένοις H (qui tamen malit ἀντιπολιτευομένοις): τοῖς δεῖ ˣἀντιπροθυμουμένοις (δεῖ τοῖς C) *M* ‖ 17. διὰ τάδε inclusi suadente Herchero

*αγομένων, ὁ τοῦ δήμου προστάτης, προαισθόμενος τὸ*
*μέλλον, τῶν ἐπιθησομένων* [τινὰς τῶν ὑπεναντίων ὄντων
τῷ δήμῳ] *ἄνδρας δύο προσποιησάμενος φίλους* [εἶναι
ἀπορρήτους πολεμίους αὐτῷ καθίστησιν αὐτοὺς καὶ] *ἐποίει κα-*
*κῶς ἐν τῷ φανερῷ, σιγῇ δὲ τὰ τῶν ἐναντίων βου-*
8 *λεύματα ἤκουε παρ' αὐτῶν. ἐπεὶ δὲ ἐπὶ τῷ εἰσ-*
*άγεσθαι τοὺς ξένους ἦσαν οἱ πλούσιοι, καὶ εἰς τὴν*
*ἐπιοῦσαν νύκτα ἔμελλε τὸ ἔργον ἔσεσθαι, ἔδοξε τῷ*
*τοῦ δήμου προστάτῃ τάχιστα ἐκκλησίαν συναγαγεῖν*
*καὶ τὸ* <*μὲν*> *μέλλον μὴ προειπεῖν, ἵνα μὴ πᾶσα ἡ*
*πόλις ταραχθῇ, εἰπεῖν δὲ ἄλλα τε καὶ ὅτι συμφέρον*
*εἴη ἐν τῇ ἐπιούσῃ νυκτὶ σὺν τοῖς ὅπλοις πάντας*
9 *ὁμοίως παρεῖναι ἐν τῇ αὑτοῦ φυλῇ ἕνα ἕκαστον. ἐὰν*
*δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ, ὡς προ-*
10 *δότης καὶ ἐπιβουλεύων τῷ δήμῳ πασχέτω τι. παρα-*
*πλησίως δὲ ἐν Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ, οὔσης*
*δημοκρατίας καὶ ἐπιβουλευόντων τῶν πλουσίων τῷ*
*δήμῳ καὶ μελλόντων ἐπιτίθεσθαι, προγνόντες οἱ προ-*
*στάται τοῦ δήμου τὸ μέλλον, οὐσῶν αὐτοῖς τριῶν*

---

2—4. hoc loco inclusi ea, quae deleri iussit Sauppius (Hercherus deleuit sola *τινὰς τῶν ὑπεναντίων ὄντων* l. 2, l. 4 cum Reiskio *καθίστη* scripsit, cum T pro *αὐτοὺς*: *ὁρατούς*) ‖ 5. *τὰ τῶν* H: *τὸ ἐκ τῶν M* (*τὰ ἐκ τῶν* C) ‖ 6. *ἐπὶ* H: *ἐν M* ‖ 7. Post *οἱ πλούσιοι* in *M* est *ἅμα δὲ καὶ τῶν ἐν τῇ πόλει τινὲς ἦσαν ἕτοιμοι*: expunxit H ‖ 8. *ἔμελλεν M* ‖ 9. *τάχιστα* C: *ταχίστην M* ‖ 10. *μὲν* addid. H ‖ 11. *εἰπεῖν* T: *εἰπόντα M* (*εἰπόντι* C) ‖ 12. *πάντας ὁμοίως* H: *πάντας μὲν οὓς M* ‖ 13. *ἕνα* H: *ὄντας M* | *ἕκαστον* Meierus: *ἑκατὸν M* (pro *ὄντας ἑκατὸν* scribi uoluit C: *ἕν τε τῇ αὑτοῦ ἑκατοστυΐ*) | *ἐὰν δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ* H coll. X 13: *ἐὰν δέ τις ἄλλως* (*ἄλλοσε* O) *ἐκθῆται τὰ ὅπλα ἢ ἄλλῃ* (*ἢ ἁπλῶς μὴ* Meierus) *ἐξενεγκάμενος φανῇ M* ‖ 15. Post *πασχέτω τι* in *M* est *τοῦτο δὴ αὐτὸ ἵνα κατὰ τὰς φυλὰς ὄντες οἱ πλούσιοι μὴ δύνωνται εἰς ταὐτὸ ἀθροισθέντες μετὰ τῶν ξένων ἐπιθέσθαι ἀλλ' ἐν ταῖς φυλαῖς ὄντες διακεχωρισμένοι ὦσιν ἐν πολλοῖς ὀλίγοι φυλέταις καλῶς δὲ δοκεῖ καὶ ἀγχινόως μετ' ἀσφαλείας διαλῦσαι τὸ μέλλον*: expunxit H

*σεως γενομένης ἐξ αὐτῶν, καὶ τὰ ἄλλα μεθίστασαν*
*πρὸς τὸ συμφέρον αὐτοῖς.*
12 *Χρὴ δὲ καὶ συμμάχων εἰς τὴν πόλιν ** μήποτε*
*ἅμα διατελεῖν τοὺς συμμάχους, ἀλλὰ διεσκεδάσθαι*
2 *ὁμοτρόπως τοῖς προειρημένοις. τὸ δὲ αὐτὸ ⟨ποιεῖν⟩*
*καὶ μετὰ ξένων μισθοφόρων μέλλοντά τι πράσσειν.*
*ἀεὶ ⟨δὲ⟩ χρὴ ὑπερέχειν πλήθει καὶ δυνάμει τοὺς ἐπαγο-*
*μένους πολίτας τῶν ξένων· εἰ δὲ μή, ἐπ' ἐκείνοις γί-*
3 *γνονται αὐτοί τε καὶ ἡ πόλις. οἷον Χαλκηδονίοις πο-*
*λιορκουμένοις ⟨οἱ Κυζικηνοί⟩ ὄντες σύμμαχοι ἔπεμψαν*
*φρουράν* [αὐτοῖς οἱ τῶν Χαλκηδονίων σύμμαχοι]. *⟨αὐτῶν δὲ⟩*
*βουλευομένων τὰ αὐτοῖς συμφέροντα οὐκ ἔφασαν οἱ*
*φρουροὶ ἐπιτρέψειν, ἐὰν μὴ καὶ Κυζικηνοῖς δοκῇ*
*εἶναι συμφέροντα, ὥστε τοῖς Χαλκηδονίοις τὴν φρου-*
*ρὰν ἐφέδραν πολὺ φοβερωτέραν εἶναι τῶν προσκαθη-*
4 *μένων πολεμίων.* [δεῖ οὖν μήποτε εἰς πόλιν οἰκείαν μείζω
δύναμιν ἐπακτὸν δέχεσθαι τῆς ὑπαρχούσης τοῖς πολίταις, ξένοις
τε χρωμένην ἀεὶ δεῖ τὴν πόλιν πολλῷ ὑπερέχειν τῆς τῶν ξένων
δυνάμεως· οὐ γὰρ ἀσφαλὲς ξενοκρατεῖσθαι καὶ ἐπὶ μισθοφόροις

---

1. *γενομένης* Meinekius: *γινομένης* *M* | *μεθίστασαν* *M*· || 3. Post *πόλιν* lacuuam indicauit C || 5. Inter *ὁμοτρόπως* et *τοῖς προειρημένοις* in *M* est *τῶν αὐτῶν ἕνεκεν*: del. H | *ποιεῖν* add. H coll. XXXII 10. XXII 13. XXXI 3. || 6. *μισθοφόρων* deleri uult Hertlinus | *μέλλοντά τι* H: *μέλλοντάς τι* *M* || 7. *δὲ* add. H || 9. *γίγνονται* H: *γίνονται* *M* || 9—12. Sauppium secutus sum qui *οἱ Κυζικηνοὶ* et *αὐτῶν δὲ* addidit, mutauit *παρόντες* in *ὄντες*, *αὐτοῖς — σύμμαχοι* eiecit: *οἷον Χαλκηδονίοις πολιορκουμένοις παρόντες σύμμαχοι ἔπεμψαν φρουρὰν αὐτοῖς οἱ τῶν καλχιδονίων σύμμαχοι. βουλ.* etc. *M* (*οἷον Χαλκηδονίοις πολιορκουμένοις οἱ παρόντες σύμμαχοι — ἔπεμψαν δὲ φρουρὰν αὐτοῖς ⟨Κυζικηνοὶ⟩ οἱ τῶν Χαλκηδονίων σύμμαχοι — βουλευομένων ⟨οὖν⟩* T) || 12. *ἔφασαν* C: *ἔφησαν* *M* || 13. *δοκῇ* C: *δοκεῖ* *M* || 14. *καλχιδονίοις* *M* || 15. *ἐφέδραν* H coll. XIV 1: *ἔσω ὁρᾶν* *M* (*ἔσω οὖσαν* C) | *προσκαθημένων* Meierus: *προκαθημένων* *M* || 16. *δεῖ οὖν* — p. 25, 1 *μισθοφόροις γίγνεσθαι* inclusi || 16. *οἰκείαν* deleri uult Sauppius, sed l. 18 post *ὑπερέχειν* inseri *τῇ οἰκείᾳ*; at cf. IX 1 in interpolato loco *τῆς οἰκείας χώρας* || 17. *ἐπακτὸν* C: *ἐπ' αὐτὸν* *M* || 18. *χρωμένην* T: *χρώμενον* *M* (*χρωμένου* C) | *δεῖ τὴν πόλιν* deleri uult H *χρώμενον* seruato || 19. *ἐπὶ* C: *ἔτι* *M*

τοῖς καθεστηκόσι προσφέρεσθαι ὡς προγέγραπται· τὸ
δὲ πλῆθος τῶν πολιτῶν εἰς ὁμόνοιαν ὡς μάλιστα
χρὴ προάγειν, ἄλλοις τε ὑπαγόμενον αὐτοὺς καὶ τοὺς
χρεωφειλέτας κουφίζοντα, ⟨τῶν μὲν⟩ τόκων βραχύ τι
ἢ ὅλους ἀφιέντα, ἐν δὲ τοῖς λίαν ἐπικινδύνοις καὶ
τῶν ὀφειλημάτων τι μέρος ⟨ἢ⟩ καὶ πάντα ὅταν δέῃ
(ὅπου γε καὶ φοβερώτατοι ἔφεδροί εἰσιν οἱ τοιοίδε
ἄνθρωποι), τούς τε ἐν ἀπορίᾳ ὄντας τῶν ἀναγκαίων
2 εἰς εὐπορίαν καθιστάντα. καὶ ὅπως ⟨ἂν⟩ ἴσως καὶ
ἀλύπως τοῖς πλουσίοις ταῦτα γίγνοιτο καὶ ἐξ οἵων
πόρων πορίζοιτο, καὶ περὶ τούτων ἐν τῇΠοριστικῇ
βίβλῳ δηλωτικῶς γέγραπται.

**15** Κατασκευασθέντων δὲ τούτων, ἄν τι ἀγγελθῇ ἢ
πυρσευθῇ βοηθείας δεόμενον, ἐξιέναι ἐπὶ τὰ κακού-
2 μενα τῆς χώρας. τὸν δὲ στρατηγὸν τοὺς παρόντας
εὐθὺς συντάττειν, ἵνα μὴ σποράδην καὶ κατ' ὀλίγους
ἐξιόντες ἐπὶ τὰ αὑτῶν ἀπολλύωνται δι' ἀταξίαν καὶ
κόπον ἄκαιρον, ἐνεδρευόμενοί τε ὑπὸ τῶν πολεμίων
3 καὶ κακὰ πάσχοντες. ἀλλὰ χρὴ τοὺς παραγιγνομέ-
νους ἐπὶ τὰς πύλας ἀθροίζεσθαι μέχρι τινὸς πλή-
θους, ὡς λόχου ἢ διλοχίας, εἶτα συνταχθέντας καὶ
ἡγεμόνος αὐτοῖς φρονίμου δοθέντος, οὕτως ἐκπέμπε-
σθαι καὶ σπεύδειν ἰόντας ἐν τάξει ὡς μάλιστα.

---

2. ὡς μάλιστα scripsi: τέως μάλιστα *M* ‖ 4. χρεοφειλέτας *M* | τῶν μὲν add. H | βραχύ τι Kirchhoffius: βραχύτητι *M* ‖ 5. ὅλους H: ὅλως *M* | ἀφιέντα H: ἀφαιροῦντα *M* ‖ 6. ἢ ante καὶ add. Meierus | ὅταν δέῃ Haasius: ὅταν δὲ *M* ‖ 7. ὅπου γε καὶ H: ὡς πολύ γε καὶ *M* ‖ 9. καθιστάντα H: καθιστάναι *M* | ἂν post ὅπως add. Kirchhoffius ‖ 10. γίγνοιτο H: γιγνόμενα πράττοιτο *M* (πράττοιτο solum Hertlinus) ‖ 11. πόρων C: πόνων *M* ‖ 13. ἀγγελθῇ C: ἀγγελθὲν *M* ‖ 15. τὸν δὲ στρατηγὸν τοὺς H: τοὺς δὲ στρατηγοὺς *M* ‖ 16. συντάττειν C: συντάττει *M* ‖ 17. αὐτῶν *M* | ἀπολλύωνται C: ἀπολλύονται *M* ‖ 19. τοὺς H: τούς τε *M* | παραγινομένους *M* ‖ 21. λόχου C: λόχω *M* ‖ 23. ἰόντας Reiskius: ὄντας *M*

*βόντες αὐτούς, πάλιν ἀφικόμενοι εἰς τὴν χώραν καὶ ἐνέδρας προκαθίσαντες ἔκειρον τὴν χώραν τὴν Ἀβδηριτῶν οὐ πόρρω τῆς πόλεως, οἱ δὲ Ἀβδηρῖται ὑπερφρονήσαντες αὐτῶν διὰ τὸ προειργασμένον ἔργον ἐπεβοήθουν πασσυδί, οἱ δὲ ὑπῆγον αὐτοὺς εἰς τὰς ἐνέδρας. ὅπου δὴ λέγεται ἐκ μιᾶς πόλεως, τοσαύτης γε τὸ μέγεθος, πλείστους ἐν ἐλαχίστῳ χρόνῳ ἀπολέσθαι.* [οὐδὲ γὰρ ἀκούσαντες τὸν ὄλεθρον τῶν πρώτων ἐπεξελθόντων οἱ ἄλλοι ἐπέσχον τῆς βοηθείας, ἀλλ' ἄλλος ἄλλον παρακαλῶν ἔσπευδε βοηθεῖν τοῖς ἐπεξελθοῦσι, μέχρι ἠρημώθη ἡ πόλις ἀνδρῶν.]

**16** [Ὅδε οὖν ἄλλος τρόπος βοηθείας βελτίων ἂν εἴη ἐπὶ τοὺς
2 ἐμβεβληκότας. πρῶτον μὲν οὖν οὐ χρὴ εὐθὺς βοηθεῖν, εἰδότα ὅτι ἀτακτότατοι ἂν εἶεν οἱ ἄνθρωποι, τῶν μὲν ἐπειγομένων τὰ οἰκεῖα σῴζειν ὡς τάχιστα ἐκ τῶν ἀγρῶν, ἑτέρων δὲ πεφοβημένων εἰς τοὺς κινδύνους προϊέναι, ἄλλων δὲ πάμπαν ἀπαρασκεύων
3 ὄντων. χρὴ οὖν τὴν μὲν βοήθειαν εὐτρεπίζειν ἀθροίζοντα ὅτι τάχος, ἅμα τῶν μὲν τὸ δεῖμα ἀφαιροῦντα, τοῖς δὲ θάρσος ἐμ-
4 ποιοῦντα, τοὺς δὲ ὁπλίζοντα. δεῖ γάρ σε εἰδέναι ὅτι τῶν πολεμίων οἱ μετὰ συνέσεως καὶ ἐπιστήμης γιγνόμενοι ἐν πολεμίᾳ, κατ' ἀρχὰς μὲν τὸ ἰσχυρότατον αὐτῶν ἐν τάξει ἄγουσι προσδεχόμενοί τινας ἐφ' ἑαυτοὺς ⟨ἰόντας⟩ καὶ ἑτοίμως ἔχοντας ἀμύ-

---

1. *αὐτούς* *M* ‖ 5. *πασσυδί* Meinekius: *πασσυδίη* *M* | Post *πασσυδίη* in *M* est *πάσῃ ῥώμῃ καὶ προθυμίᾳ*: expunxit Co. O ‖ 6. *ὅπου δὴ* C: *ὅπου δὲ* *M* ‖ 8—11. *οὐδὲ γὰρ — πόλις ἀνδρῶν* inclusi ‖ 8. *πρώτων* Hertlinus: *πρῶτον* *M* ‖ 10. *ἔσπευδεν* *M* | *μέχρις* *M* ‖ 12. — p. 30, 19 (XVI, 1—13) *πλέων ὑπ' αὐτῶν* inclusi | 12. *ὅδε* (uel *ὅδ'*) scripsi: *ὁ δ'* *M* (*εἴη δ' ἂν ἄλλος τρόπος βοηθείας ἐπὶ τοὺς ἐμβεβληκότας τοιόσδε* expectabat H) ‖ 13. *εὐθὺς* H: *εὐθὺ* *M* | Fort. *βοηθεῖν ἐᾶν* ‖ 14. Post *ἀτακτότατοι ἂν* in *M* est *καὶ ἀπαράσκευοι πρὸ τῆς ἕω*: expunxit H ‖ 16. Post *προϊέναι* in *M* est *οἱ δ'* (*οἷα* C) *εἰκὸς προσφάτως ἀγγελμένων* (*ἠγγελμένων* C) ‖ 18. *ἐμποιοῦντα* C: *ἐμποιοῦντας* *M* ‖ 19. *ὁπλίζοντα* C: *ὁπλίζοντας* *M* ‖ 20. *συνέσεως* H: *ξυνέσεως* *M* | *γινόμενοι* *M* | *πολεμίᾳ* C: *πόλει μιᾷ* *M* ‖ 22. *ἰόντας* inseruit H | *ἔχοντας* H: *ἔχοντες* *M*

ἀπαρασκεύοις τε καὶ ⟨οὐ⟩ τεταγμένοις κινδυνεύοις, οἱ δὲ πολέμιοι
μικρὰ μὲν ἂν φθάσειαν κακουργήσαντες, ἐν τάξει δ' ἂν ἔτι ὄντες
10 ἀτιμώρητοι ἂν ἀπέλθοιεν. πολὺ δὲ κρεῖσσον, ὡς προγέγραπται,
11 ἐνδόντα ἀφυλάκτως διακειμένοις αὐτοῖς ἐπιθέσθαι. ἐὰν δέ σε
λάθῃ ἢ φθάσῃ τὰ ἐκ τῆς χώρας λεηλατηθέντα, οὐ χρὴ τὴν
δίωξιν αὐτῶν ποιεῖσθαι ⟨κατὰ⟩ τὰς αὐτὰς ὁδοὺς καὶ τοὺς αὐτοὺς
χώρους, ἀλλὰ τῇδε μὲν ὀλίγους ἐπιφαίνεσθαι καὶ διώκοντας μὴ
ἐπικαταλαμβάνειν ἑκουσίως καὶ ἀνυπόπτως, ἄλλο δὲ πλῆθος μετὰ
ἀξιόχρεω δυνάμεως σπεύδειν κατ' ἄλλας ὁδοὺς ὅτι τάχιστα πο-
ρευόμενον, καὶ φθάσαν ἐν τῇ τῶν ἀγόντων χώρᾳ περὶ τὰ ὅρια
12 ἐνεδρεῦσαι (φθάσαι δέ σε εἰκός ἐστι πρότερον εἰς τὴν ἐκείνων
ἀφικόμενον, διὰ τὸ λείαν ἄγοντας αὐτοὺς βραδυτέρως πορεύε-
σθαι), τὴν δ' ἐπίθεσιν αὐτοῖς ποιεῖσθαι δειπνοποιουμένοις· οἱ γὰρ
λεηλατήσαντες, ⟨ὡς⟩ ἔν τε τῇ αὑτῶν ἤδη γεγονότες καὶ ἐν ἀσφα-
λεῖ ὄντες, πρὸς ῥᾳθυμίαν τρεπόμενοι ἀφυλακτοτέρως ἂν δια-
13 κέοιντο. ἄριστον ⟨δ'⟩, ἵνα νεοκμῆσι τοῖς στρατιώταις χρήσῃ,
ὑπαρχόντων γε πλοίων, κατὰ θάλατταν τὴν δίωξιν ποιεῖσθαι· τό
τε γὰρ φθάσαι καὶ τὰ ἄλλα εἰς τὸ δέον σοι συμβήσεται, ἐὰν μὴ
14 κατοφθῇς πλέων ὑπ' αὐτῶν.] *Κυρηναίους ⟨δὲ⟩ καὶ Βαρκαίους*
*λέγεται τὰς μακρὰς βοηθείας κατὰ τὰς ἁμαξηλάτους*

---

1. *οὐ* ante *τεταγμένοις* inseruit C | *δὲ* H: *τε* *M* || 2. *φθά-σειαν* H: *φθάσαιεν* *M* || 3. *προγέγραπται* H: *γέγραπται* *M* || 6. *κατὰ* adiecit Meinekius || 7. *τῇδε* C: *τῆσδε* *M* || 8. *ἑκουσίως καὶ ἀνυπόπτως* deleri uult H: sed ab rhetore haec non uidentur abiudicanda || 9. *ἀξιόχρεω* Hertlinus: *ἀξιοχρέου* *M* || 10. *φθάσαν* Co. O: *φθάσαντος* *M* || *ὅρια* *M* || 11. *πρότερον* deleri uult H: sed cf. Thuc. VII 25, Dem. VI 18 || 12. *λείαν* C: *λίαν* *M* || 14. *ὡς* addiderunt T | *αὐτῶν* *M* || 15. *ἀφυλακτοτέρως* C: *ἀφυκτοτέρως* *M* || 16. *δ'* addidit C | *νεοκμῆσι* C: *νεοσμησιν* *M* || 17. *γε* C: *δὲ* *M* || 19. *Κυρηναίους* C: *κρηναίους* *M* | Post *Κυρηναίους* H inseruit *δὲ* || 20. Post *λέγεται* in *M* est *καὶ ἄλλας τινὰς πόλεις*: deleuit H | *τὰς μακρὰς βοηθείας κατὰ τὰς ἁμαξηλάτους τε ὁδοὺς* H: *τὰς ἁμαξηλάτους τε ὁδοὺς καὶ μακρᾶς βοηθείας* *M* (*ἁμαξηλάτους τε ὁδοὺς τὰς μακρὰς βοηθείας* T, *κατὰ* ante *τὰς ἁμαξ.* inseruit Meinekius)

*πόλεως χωρία σύμμαχά τε πρὸς τὸ μάχεσθαι πλεο-*
*νεκτικῶς καὶ εὐαπαλλάκτως ἔχοντα, ὅταν βούλῃ ἀπιέναι*
*πρὸς τὴν πόλιν, καὶ οὕτως ἄρχειν τῆς μάχης ἐκ τῶν*
19 *χωρίων τούτων ὁρμώμενον.* [τὰς δ' ἐπιθέσεις αὐτοῖς ποι-
εῖσθαι ἀεὶ πλεονεκτοῦντα τῇ τῆς χώρας συνηθείᾳ· πολὺ γὰρ
προέξεις προειδὼς τὰ χωρία καὶ προάγων εἰς τόπους οἵους ἂν
σὺ βούλῃ, σοὶ μὲν γνωστοὺς καὶ ἐπιτηδείους καὶ φυλάξασθαι καὶ
διῶξαι καὶ φυγεῖν καὶ ἀπιέναι εἰς τὴν πόλιν λαθραίως καὶ φα-
νερῶς, τοῖς δὲ πολεμίοις ἀσυνήθεις καὶ ἀγνῶτας καὶ λελειμμένους
20 πάντων τούτων, εἰδόσιν ὅτι ἄπειρον ὄντα τῆς χώρας οὐ μόνον
ἀδύνατον πρᾶξαί τι ὧν θέλει, ἀλλὰ καὶ σωθῆναι χαλεπόν, τῶν
γε ἐν τῇ χώρᾳ βουλομένων ἐπιχειρεῖν. πρὸς πάντα ἂν οὖν
ἀτόλμως καὶ δειλῶς διακείμενοι σφάλλοιντο· διενέγκοι γὰρ ἂν
τοσοῦτον ἑκατέροις, ὅσον εἰ τοῖς μὲν νυκτὸς γένοιτο ἡ μάχη τοῖς
21 δὲ ἡμέρας, εἰ οἷόν τέ πως ἦν ταῦτα ἅμα γενέσθαι. ὑπάρχοντος
δέ σοι ναυτικοῦ, πεπληρῶσθαι τὰς ναῦς· οὐ γὰρ ἐλάσσω τοὺς
πολεμίους ὀχλήσουσιν οἱ ἐν ταῖς ναυσίν, ἐάν γε παραπλεῖν

---

1. *σύμμαχά τε πρὸς τὸ μάχεσθαι* H: *σύμμαχα πρὸς τὸ μάχεσθαί τι M* (*τε* C) ‖ 2. *ἔχοντα* Meierus: *ἔχων τὸ χωρίον M* | *βούλῃ* Hertlinus: *βούλει M* ‖ 3. Post *οὕτως* in *M* est *ἐμβαλόντες οἱ πολέμιοι εἰς τὴν χώραν πρὸς τὴν πόλιν πορεύονται καί*: expunxit H | Post *ἄρχειν* in *M* est *ὑμᾶς*: deleuit idem ‖ 4. *ὁρμώμενον* H: *ὁρμωμένους M* | *τὰς δ' ἐπιθέσεις* — p. 33, 3 *ἀποβαίη* (§ 19—22) inclusi ‖ 5. *τῇ τῆς χώρας συνηθείᾳ* scripsi: *ἐκ τῆς χώρας τῇ συνηθεία M* (*τῆς χώρας τῇ συνηθείᾳ* Co. O) ‖ 6. *προέξεις* T: *προήξεις M* ‖ 9. Post *φανερῶς* in *M* est *ἔτι δὲ καὶ τὰ ἐπιτήδεια προειδότα ὅπου ἂν τῆς χώρας ὑπάρχῃ ὑμῖν*: expunxit H | *ἀσυνήθεις* C: *συνήθεις M* ‖ 10. *τούτων, εἰδόσιν ὅτι* scripsi: *τούτων εἰδότας ὅτι M* (*τουτων. εἰδέναι γὰρ ὅτι* H) ‖ 11. *θέλεις* scribi uult H ‖ 12. *πάντα ἂν οὖν* H: *πάντα ἢ M* (*πάντα οὖν ἂν* T) ‖ 13. Post *σφάλλοιντο* in *M* est *διότι μηδὲν τῶν τοιούτων εἰκάζειν*: expunxit H ‖ 14. *τοσοῦτον ἑκατέροις* H: *τοῖς ἑτέροις M* | *τοῖς μὲν νυκτὸς γένοιτο ἡ μάχη* H: *τοῖς μὲν νυκτὸς . . . ηχη M* (*τοῖς μὲν νυκτὸς μάχη γένοιτο* O, *τοῖς μὲν νυκτὸς εἴη ἡ μάχη* T) ‖ 15. *οἷόν τέ πως* C: *οἷόν τε πῶς M* | *ἦν ταῦτα ἅμα* H: *ἢ τοῦτο ἅμα M* (*εἴη τοῦτο ἅμα* T) ‖ 17. *ἐάν γε* T: *ἐάν τε M* | *παραπλεῖν* H: *παραπλέων M*

νους πρῶτον μὲν τῆς βαλάνου ἔλαβον τὰ μέτρα
9 τρόπῳ τοιῷδε. προκαθέντες ἐν τῇ ἡμέρᾳ εἰς τὴν
βαλανοδόκην λίνου λεπτοῦ καὶ ἰσχυροῦ βρόχον καὶ
τὰς ἀρχὰς ἔξω ἐάσαντες ἀφανεῖς, ὡς ἐν τῇ νυκτὶ
ἐνεβλήθη ἡ βάλανος, ἀνέσπασαν [τὰς ἀρχὰς τοῦ λίνου]
τὸν βρόχον καὶ τὴν βάλανον, λαβόντες δὲ τὰ μέτρα
αὐτῆς πάλιν καθῆκαν. ἔπειτα πρὸς ⟨τὰ⟩ μέτρα τῆς
10 βαλάνου βαλανάγραν ἐποιήσαντο τρόπῳ τοιῷδε. ἐχαλ-
κεύσαντο σίφωνά τε καὶ φορμορραφίδα. ἦν δὲ ὁ
μὲν σίφων ἐργασθεὶς καθάπερ εἴωθε γίγνεσθαι· τῆς
δὲ φορμορραφίδος τὸ μὲν ὀξὺ καὶ πολὺ μέρος εἰργά-
σαντο καθάπερ ταῖς ἄλλαις φορμορραφίσιν, ἡ δὲ
λαβὴ ἦν κοίλη ὥσπερ † στυρακίου ἢ ** στελέα ἐμ-
11 βάλλεται. καὶ παρὰ μὲν τῷ χαλκεῖ ἐνεβλήθη στελεόν,
† ἀπενεχθέντος δὲ ἐξῃρέθη, ὥστε πρὸς τὴν βάλανον
12 προσαχθεῖσαν ἁρμόσαι. ἤδη δέ τινες ἐν τῇ βαλανο-
δόκῃ οὔσης ⟨τῆς⟩ βαλάνου τὸ περίμετρον ὧδε ἔλαβον.
πηλὸν κεραμικὸν περιελίξαντες ὀθονίῳ λεπτῷ καθ-

3. *καὶ τὰς ἀρχὰς ἔξω ἐάσαντες ἀφανεῖς* H: *καὶ τὰς ἀρχὰς ἔξω οὔσας ἀφανεῖς M* (*ἐάσας* pro *οὔσας* C, *καὶ τὰς ἀρχὰς ἔξω ἔχοντος οὔσας ἀφανεῖς* T) ‖ 5. *ἀνέσπασαν* Co. O: *ἀνέσπασεν M* | Post *ἀνέσπασεν* in *M* est *τὰς ἀρχὰς τοῦ λίνου*: inclusi ego (*τὰς ἀρχὰς* solum eiecit H, *ἀνέσπασε τὰς ἀρχὰς τοῦ λίνου καὶ τὸν βρόχον* C) ‖ 7. *τὰ* ante *μέτρα* addidit H | Post *τὰ μέτρα* in *M* est *οὕτω*: expunxit H (*οὕτω ⟨ληφθέντα⟩* T) ‖ 9. *φορμορραφίδα* L. Dindorfius: *φορμοροφίδα M* ‖ 10. *γίνεσθαι M* ‖ 11. *δὲ* T: *τε M* | *φορμορραφίδος* L. Dindorfius: *φορμοραφίδος M* (sic etiam 12) | *εἰργάσαντο* C: *εἰργάσατο M* ‖ 13. Post *ἢ* in *M* est lacuna. Ceterum verba corrupta ‖ 15. *ἀπενεχθέντος*, quod in *M* est, in *ἀπενεχθείσης* mutauit H: oratio manca esse uidetur. (Totus locus sic a Turr. legitur: *ὥσπερ στυράκιον ἢ στελεά, ᾗ τὸ στελεὸν ἐμβάλλεται — ἀπενεχθέντος δὲ ἐξῃρέθη, ὥστε πρὸς τὸν σίφωνα προσαχθεῖσαν ἁρμόσαι.*) ‖ 16. Post *ἁρμόσαι* in *M* est *προνοητικῶς δὴ δοκεῖ ποιηθῆναι πρός τε τὸν χαλκέα μηδὲν ὑποπτεῦσαι ὅ τε σίφων οὗ ἕνεκα ἐργασθεὶς εἴη καὶ ἡ φορμοραφὶς καὶ τὰ ἄρμενα γίνεσθαι*: expunxit H ‖ 17. *τῆς* ante *βαλάνου* inseruit H ‖ 18. *κεραμικὸν* C: *κεραμεικὸν M*

παρῆν διεσκευασμένος μεθ' ὧν ἔμελλεν εἰσπορεύεσθαι εἰς χωρίον
ῥητὸν πρὸς τὸν τὴν ἀγαθίδα ἔχοντα. ἦν δὲ προσυγκείμενον τῷ
Τημένῳ πρὸς τὸν πυλωρόν, ἐλθόντι εἰς τὸν χῶρον σπᾶν τὸ
19 σπάρτον. καὶ εἰ μὲν ἦν ἕτοιμα τῷ πυλωρῷ ἅπερ ἤθελε, προσ-
επιδῆσαι πρὸς τὴν ἀρχὴν τοῦ λίνου μαλλὸν ἐρίου καὶ ἀφεῖναι,
ὅπερ ἰδὼν ὁ Τήμενος ἔμελλε σπεύδειν πρὸς τὰς πύλας· εἰ δ'
ἀπετύγχανεν ὁ πυλωρὸς τοῦ θελήματος, οὐδὲν προσάψας ἀφῆκε
τὸ λίνον, ὥστε τὸν Τήμενον ἐκ πολλοῦ φθάσαι τε καὶ λαθεῖν
ἀπαλλαγέντα. αἰσθομένῳ οὖν ἐν τῇ νυκτὶ ἐν τῷ σπάρτῳ ὑπάρ-
20 χοντα τὸν μαλλὸν οἷόν τε ἦν προϊέναι.] [τρόπον δὲ καὶ τόνδε
προεδόθη πόλις ὑπὸ πυλωροῦ. σύνηθες ἐποιήσατο, ἐπεὶ μέλλοιεν
αἱ πύλαι κλείεσθαι, ὑδρεῖον ἔχων ἐξιέναι ὡς ἐφ' ὕδωρ. ἀφικνού-
μενος δὲ ἐπὶ τὴν κρήνην, λίθους ἐτίθει εἰς τόπον γνωστὸν τοῖς
πολεμίοις, ἐφ' ὃν φοιτῶντες εὕρισκον διὰ τῶν τιθεμένων λίθων
21 ἅπερ θέλοι δηλοῦν ὁ τῆς πόλεως φύλαξ. εἰ μὲν γὰρ πρώτην
φυλάσσοι, ἕνα λίθον ἐτίθει εἰς τὸν συγκείμενον τόπον, εἰ δὲ
δευτέραν, δύο, εἰ δὲ τρίτην, τρεῖς, εἰ δὲ τετάρτην, τέτταρας, ἔτι δὲ
καὶ ᾗ τοῦ τείχους καὶ κατά τί τῶν φυλακείων λελόγχοι. τούτῳ
οὖν τῷ τρόπῳ σημαίνων ἐνέδωκε.]

---

2. *ἀγαθίδα* C: *ἀκανθίδα M* ‖ 3. *ἐλθόντι* (uel *ἐλθόντα*) Hertlinus: *ἐλθὼν M* | *τὸ σπάρτον* T: *τὸν σπάρτον M* ‖ 4. *προσεπιδῆσαι* C: *προσπηδῆσαι M* ‖ 6. *ἔμελλεν M* ‖ 7. an legendum: *οὐδὲν προσάψαντα ἀφεῖναι?* | *οὐδὲν* C: *οὐθὲν M* | *ἀφῆκεν M* ‖ 8. *τὸ* Hertlinus: *τὸν M* ‖ 9. *ἀπαλλαγέντα* C: *ἀπαλλαγέντας M* | *αἰσθομένῳ οὖν ἐν τῇ νυκτὶ ἐν τῷ σπάρτῳ ὑπάρχοντα τὸν μαλλὸν οἷόν τε ἦν* scripsi: *ᾐσθάνοντο οὖν ἐν τῇ νυκτὶ τὸ σπάρτον ὑπάρχον ἐν τῇ πόλει οὐχ οἷόν τε ἦν M* (*ὅτι* post *πόλει* inseruit C, *ᾐσθάνετο γοῦν ἐν τῇ νυκτὶ διὰ τὸ σπάρτον ὑπάρχον ἐν τῇ πόλει εἰ οὐχ οἷόν τε ἦν* T) — Fort. *αἰσθομένου αὐτοῦ* scribendum; *οὐχ* ante *οἷόν τε* additum esse ab eo puto, qui insequentem narratiunculam huc pertinere arbitraretur ‖ 10. *τρόπον* — 19. *ἐνέδωκε* item inclusi | *καὶ* C: *κατὰ M* ‖ 12. *ὑδρεῖον* H: *ὑδρίον M* | *ἐξιέναι* C: *εἰσιέναι M* ‖ 13. *κρήνην* C: *κλίνην M* ‖ 14. *ἐφ' ὃν* Hertlinus: *ἐφ' οὗ M* ‖ 16. *φυλάσσοι* T: *φυλάσσοιεν* Parisinus 2552 (in *M* litterae exesae) | *ἕνα λίθον* C: *ἀνθ' ὧν* Par. | *εἰς* H: *πρὸς M* ‖ 17. *τρίτην, τρεῖς* C: *τρίτην, τρίτης M* ‖ 18. *φυλακείων* Kirchhoffius: *φυλάκων M* | *τούτῳ* T: *τούτω δ' M* ‖ 19. Post *ἐνέδωκε* in *M* est *ταῦτα δεῖ οὖν συμβαλλόμενον πάντα φυλάττεσθαι καὶ τὰς πύλας αὐτὸν τὸν ἄρχοντα κλείειν καὶ μὴ ἄλλῳ διδόναι τὴν βάλανον*: expunxit H.

*τῶν πυλῶν καὶ ἀνοιγομένων ⟨ἁρμόττειν⟩. τὸν δὲ καρκίνον ἐσκευάσθαι, ὅπως ὑπὸ τὴν λοπίδα κάθηται*
4 *καὶ ῥᾳδίως τὴν βάλανον μετεωρίζῃ. Ἀπολλωνιᾶται δὲ οἱ ἐν τῷ Πόντῳ παθόντες τι τῶν προγεγραμμένων κατεσκεύασαν τὰς πύλας κλείεσθαι ὑπὸ σφύρας τε μεγάλης καὶ κτύπου παμμεγέθους γιγνομένου, ὡς σχεδὸν κατὰ πᾶσαν τὴν πόλιν ἀκούεσθαι ὅταν κλείωνται ἢ ἀνοίγωνται αἱ πύλαι· οὕτω μεγάλα τε καὶ σεσιδηρωμένα πάντῃ ⟨τὰ⟩ κλεῖθρα. τὸ δὲ αὐτὸ καὶ*
5 *ἐν Αἰγίνῃ ⟨γίγνεται⟩. ὅταν δὲ αἱ πύλαι κλεισθῶσι, τοῖς φύλαξι σύνθημα καὶ παρασύνθημα δόντα ἐπὶ τὰ φυλακεῖα διαπέμψαι.*

21 [Περὶ δὲ ἁρμένων ἑτοιμασίας καὶ ὅσα ⟨χρὴ⟩ περὶ χώραν φιλίαν προκατασκευάζειν ἢ τὰ ἐν τῇ χώρᾳ ὡς δεῖ ἀφανίζειν ἢ ἀχρεῖα ποιεῖν τοῖς ἐναντίοις, ὧδέ μοι παραλείπεται, ἐν δὲ τῷ
2 Παρασκευαστικῷ περὶ τούτων τελέως δεδήλωται.] *Περὶ δὲ φυλάκων καταστάσεως καὶ περιοδειῶν* [καὶ πανείων] *καὶ συνθημάτων καὶ παρασυνθημάτων τὰ μὲν πολλὰ ἐν τῇ Στρατοπεδευτικῇ βίβλῳ γέγραπται ὃν τρόπον δεῖ γίγνεσθαι, ὀλίγα δὲ* [αὐτῶν] *καὶ νῦν δηλώσομεν.*

22 *Νυκτοφυλακεῖν ἐν μὲν τοῖς κινδύνοις προσκαθημένων ἤδη ἐγγὺς ⟨τῶν⟩ πολεμίων πόλει* [ἢ στρατοπέδῳ]

---

1. *ἁρμόττειν* inserui post *ἀνοιγομένων.* cf. XXXVI 1 ‖ 2. *ἐσκευάσθαι M* (*ἐσκολιῶσθαι* proposuit H) | *λεπίδα* uoluit C | *κάθηται M* (*καθίηται* homo doctus) ‖ 9. *πάντῃ τὰ κλεῖθρα* scripsi: *πάντα κλεῖθρα M* (*τὰ κλεῖθρα* H) ‖ 10. Post *Αἰγίνῃ* inserui *γίγνεται* suadente H; facile enim inter *Αἰγίνῃ* et *ὅταν* haec uox excidere poterat ‖ 11. *δόντα* Hertlinus: *δόντας M* ‖ 12. *φυλακεῖα* H: *φυλάκια M* ‖ 13. *περὶ δὲ ἁρμένων — 16. δεδήλωται* inclusi (14. *ἢ τὰ* — 15. *ἐναντίοις* iam Herchero suspecta erant) | *χρὴ* add. H ‖ 16. *τελέως δεδήλωται* H: *τελείως δηλοῦται M* ‖ 17. *περιοδειῶν* Hertlinus: *περιοδιῶν M* | *καὶ πανείων* inclusi ‖ 19. *γέγραπται* H: *γραπτέον M* ‖ 20. *γίγνεσθαι* scripsi: *γενέσθαι M* (*ὃν τρόπον — γενέσθαι* deleri uoluit H) | *αὐτῶν* inclusi auct. H ‖ 21. *νυκτοφυλακεῖν* H: *νυκτοφυλακεῖσθαι M* | Post *κινδύνοις* in *M καὶ* est: expunxit H | *προσκαθημένων* Meierus: *προκαθημένων M* ‖ 22.

φυλάσσωσιν, ὕπνος τ' ἂν ἐγγίγνοιτο διὰ τὸ μῆκος
τῶν φυλακῶν, καὶ εἴ τινές τι ἐγχειροῖεν νεωτερίσαι,
παρέχοι ἂν αὐτοῖς τοῦ χρόνου τὸ μῆκος καὶ φθάσαι
7 καὶ λαθεῖν πράξαντάς τι πρὸς τοὺς πολεμίους. ἔτι
δὲ χρὴ ἐν τοῖς κινδύνοις καὶ τάδε προνοεῖν. τῶν
φυλάκων μηδένα προγιγνώσκειν μήτε ὁπότε μήτε
ὅπου φυλάξει τῆς πόλεως, μηδὲ τῶν αὐτῶν ἀεὶ τοὺς
αὐτοὺς ἡγεῖσθαι, ἀλλ' ὡς πυκνότατα [πάντα] μεθιστά-
ναι τὰ περὶ τὴν πολιτοφυλακίαν· οὕτω γὰρ ἂν ἥκι-
στά τις δύναιτο τοῖς ἔξω προδιδοὺς δηλοῦν τι ἢ
8 προσδέξασθαι παρὰ τῶν πολεμίων [μὴ προειδότων ὅπου
τοῦ τείχους τὴν νύκτα ἔσονται μηδὲ μεθ' ὧν, ἀλλ' ἀγνοοῦντες
τὸ μέλλον, καὶ τοὺς ἡμέρας φυλάξαντας μὴ φυλάσσειν νυκτός·
9 οὐ γὰρ ἐπιτήδειον προειδέναι ἃ μέλλει ἕκαστος πράσσειν.] προ-
φυλάσσοιέν τ' ἂν ἐκ τῶν ἐπὶ τῷ τείχει φυλακείων
οἱ προφύλακες ὧδε· ἐξ ἑκάστου γὰρ φυλακείου καθ'
ἑκάστην φυλακὴν προφυλασσόντων εἷς ἀνὴρ ἐπὶ τὸ
ἐχόμενον φυλακεῖον, καὶ ἀπ' ἐκείνου ἄλλος ἐπὶ τὸ
ἐχόμενον, καὶ ἀπὸ τῶν ἄλλων ⟨ἄλλοι⟩ ἐπὶ τὰ ἄλλα·
παρηγγέλθω δὲ ποιεῖν ἅπαντας τοῦτο ἀπὸ συσσή-

---

3. *παρέχοι* C: *ὑπάρχοι M* ‖ 4. Post *πολεμίους* in *M* est *διὸ δεῖ τὰ τοιαῦτα μὴ ἀγνοεῖν*: expunxit H ‖ 6. *προγιγνώσκειν* H: *προγινώσκειν M* ‖ *μήτε ὁπότε* Sauppius: *μήτε ὅπου στῆναι M* (*μήτε ὅπου στήσει* C, *μήτε ὅπου στῆναι ἔσται* uel *ὑπάρξει* Meinekius, *μήτε ὅπου στήσεται* uel *στῆναι δεήσει* Hertlinus, *μήτε ὅπου πράξει* H; an scribendum *μήτε ὅπου ἔσται μήτε ὁπότε φυλάξει* eiecto *τῆς πόλεως*? ‖ 8. *πάντα* inclusi Herchero suadente ‖ 11. *μὴ προειδότων* — 14. *πράσσειν* inclusi | *μὴ οὖν προειδέναι* scribi uult H ‖ 12. *ἀγνοοῦντες M* (*ἀγνοούντων* puto hunc interpolatorem scripsisse: *ἀγνοεῖν πάντας* T, *ἀγνοεῖν* H) ‖ 14. *οὐ* Haasius: *οὗ M* | *προειδέναι ἃ μέλλει* Haasius: *προϊέναι ἀμελεῖ* cod. Cas. (in *M* periit) ‖ 15. *φυλακείων* H: *φυλάκων M* (*φυλακίων* T) ‖ 16. *φυλακίου M* ‖ 17. *προφυλασσόντων* C: *τῶν προφυλασσόντων M* 1 (*προφυλασσέτω* malit H) ‖ 18. *φυλάκιον M* | *ἄλλος ἐπὶ* H: *ἄλλος εἰς M* ‖ 19. *ἄλλοι* add. T ‖ 20. *ἅπαντας* cod. Cas.: *ἅπα . . . πάντας M*

πλείονος ἐμφανιοῦσι τὸν ἐκ τῶν πολεμίων κατάσκο-
πον προσπελάζοντα τῇ πόλει λαθραίως ἢ ⟨τὸν⟩ πειρώ-
μενον αὐτομολεῖν· ἅμα δὲ καὶ τὸν φύλακα, ἐὰν τύχῃ
15 καθεύδων, ἐγεροῦσι διὰ τὸν ὑλαγμόν. ᾗ δ' ἂν τῆς
πόλεως εὐπρόσοδα καὶ εὐεπίθετα τοῖς πολεμίοις ᾖ,
τῇδε φύλακας καθιστάναι τοὺς τὰ πλεῖστα κεκτημέ-
νους καὶ ἐντιμοτάτους τε καὶ τῶν μεγίστων μετ-
έχοντας ⟨ἐν⟩ τῇ πόλει· μάλιστα γὰρ ἂν αὐτοῖς προσ-
ήκοι μὴ πρὸς ἡδονὰς τραπέσθαι, ἀλλὰ μεμνημένους
16 τοῖς αὐτῶν ἂν προσέχειν. ⟨ἐν⟩ δὲ ταῖς πανδήμοις
ἑορταῖς χρὴ τῶν κατὰ ⟨τὴν⟩ πόλιν φυλάκων ὅσοι ἂν
ὦσι μάλιστα ὕποπτοι καὶ ἄπιστοι ἀφίεσθαι ἀπὸ τῶν
17 φυλακείων κατ' οἰκίας ἑορτάζειν. καὶ ἅμα μὲν πο-
λυωρεῖσθαι δόξουσιν, ἅμα δὲ οὐδὲν ἂν ἐπ' αὐτοῖς
εἴη πρᾶξαι. ἀντὶ δὲ τούτων ἄλλους εἰς τὰ φυλακεῖα
καθιστάναι πιστοτέρως ἔχοντας· περὶ γὰρ τὰς ἑορτὰς
18 μάλιστα οἱ βουλόμενοί τι νεωτερίζειν ἐγχειροῦσιν. ὅσα
δὲ πάθη γέγονε περὶ τοὺς τοιούτους καιρούς, ἐν
19 ἄλλοις δεδήλωται. ἀγαθὸν δὲ ἅμα τούτοις μηδὲ τὰς
ἀναβάσεις ἐπὶ τὸ τεῖχος εὐπόρους εἶναι ἀλλὰ κλει-
στάς, ἵνα μηδενὶ ἐγγίγνηται προκαταλαμβάνειν τι τοῦ

---

1. κατάσκοπον προσπελάζοντα H: κατάσκοπον ἢ αὐτόμολον προσπελάζοντα *M* | 2. ἢ ⟨τὸν⟩ πειρώμενον αὐτομολεῖν H: ἢ πῇ ὁρμώμενον αὐτομολοῦντα *M* ‖ 4. ἐγεροῦσι C: ἐγείρουσι *M* ‖ 5. ᾖ C: ἢ *M* ‖ 8. ἐν addidit Hertlinus; confert H XXXVIII 3 | προσήκοι T: προσήκει *M* ‖ 9. ἀλλὰ μεμνημένους τοῖς αὐτῶν ἂν προσέχειν scripsi, τοῖς αὐτῶν illo ex lin. 12 ὕποπτοι τοῖς αὐτῶν huc transposito: ἀλλὰ μεμνημένους ἂν προσέχειν *M* ‖ 10. ⟨ἐν⟩ δὲ ταῖς Haasius: δὲ ταῖς Par. ‖ 11. τὴν inseruit Sauppius | ὅσοι ἂν ὦσι H: ὅσοι ἐν σώμασι *M* ‖ 12. τοῖς αὐτῶν, quod post ὕποπτοι in *M* est, ex hoc loco remoui uide ad l. 9 ‖ 13. φυλακίων Par. | καὶ ἅμα C: καὶ ἀλλὰ *M* ‖ 16. Post περὶ γὰρ τὰς ἑορτὰς in *M* est τοὺς τοιούτους καιρούς: expunxit H ‖ 18. πάθη Hertlinus: πάθεα *M* | τοὺς τοιούτους καιροὺς C: τοῦ στοιχείου τοὺς καιροὺς *M* ‖ 19. δεδήλωται H: δηλοῦται *M* | ἀγαθὸν T: ὁμαλὸν *M* (καλὸν C) ‖ 21. ἐγγίνηται *M* | τι Kirchhoffius: ἔτι *M*

σημεῖον παρὰ τοῦ στρατηγοῦ παραδίδοσθαι τῷ πρώτῳ
φύλακι, τοῦτον δὲ ⟨διδόναι⟩ τῷ ἐχομένῳ καὶ ἕτερον
ἑτέρῳ, μέχρι ⟨ἂν⟩ περιενεχθῇ ἡ σκυταλὶς κύκλῳ τὴν
πόλιν καὶ ἀνακομισθῇ παρὰ τὸν στρατηγόν· προειρῆσθαι
δὲ τοῖς φύλαξι μὴ πορρωτέρω προενεγκεῖν τὴν σκυτα-
λίδα τοῦ ἐχομένου φύλακος. ἐὰν δ' ὁ ἐλθὼν κατα- 28
λάβῃ τόπον ἔρημον φύλακος, πάλιν ἀποδιδόναι παρ'
οὗ ἔλαβε τὴν σκυταλίδα, ⟨ἵν'⟩ αἴσθηται ὁ στρατηγὸς
καὶ γνῷ τὸν μὴ παραδεξάμενον ἀλλ' ἐκλιπόντα τὴν
φυλακήν. ὃς δ' ἂν φυλακῆς αὐτῷ οὔσης μὴ παρῇ 29
εἰς τὸ τεταγμένον, ὁ λοχαγὸς αὐτοῦ παραχρῆμα τὴν
φυλακὴν ἀποδόσθω, ὁπόσον ἂν εὑρίσκῃ, καὶ κατα-
στησάτω ὅστις ὑπὲρ αὐτοῦ φυλάξει. ἔπειτα ⟨ὁ⟩ πρό-
ξενος αὐτοῦ ἀποδιδότω τῷ πριαμένῳ τὴν φυλακήν,
ὁ δὲ ταξίαρχος αὐτὸν τῇ ὑστεραίᾳ ζημιούτω τῇ νο-
μιζομένῃ ζημίᾳ.

Ἐπεξόδους δὲ ποιούμενον λαθραίους ἐν νυκτὶ 23
τοῖς προσκαθημένοις πολεμίοις τάδε προνοεῖν. πρῶ-
τον μὲν φυλάξαι ὅπως μή ⟨τις⟩ ἐξαυτομολήσῃ· ἔπειτα
φῶς ὑπαίθριον μηδὲν εἶναι, ἵνα μὴ ὁ ὑπὲρ τῆς πό-
λεως ἀὴρ πυρωδέστερος ὢν τοῦ ἄλλου ἐκφήνῃ τὸ
μέλλον. τούς τε τῶν κυνῶν ὑλαγμοὺς καὶ τῶν ἀλεκ- 2

---

τε *M* | *περιοδείαις* H: *περιοδείας* *M* (*περιοδίαις* T) | Post *χρὴ* in *M* est *τῶν στρατηγῶν*: expunxit H (*χρὴ τὸν στρατηγὸν* T) || 3. *διδόναι* adiecit H || 4. *ἂν* adiecit Meinekius || 5. *ἀνακομισθῇ* Meinekius: *κομισθῇ* *M* || 6. *φύλαξι* H: *προφύλαξιν* *M* || 7. *δ' ὁ* H: *δὲ* *M* || 8. *πάλιν ἀποδιδόναι* Sauppius: *πάντ' ἀντιδιδόναι* *M* (*παραχρῆμα ἀποδιδόναι* C, *πάλιν ἀντιδιδόναι* O, *ἀντιδιδόναι* H) || 9. *ἵν'* adiecit C || 10. *ἐκλιπόντα* C: *ἐκλείποντα* *M* || 13. *ὁπόσον* Hertlinus: *πόσον δ'* *M* || 14. *ὁ* ante *πρόξενος* addiderunt T | *πρόξενος αὐτοῦ* Sauppius: *πρόξενος ἐξ αὐτοῦ* *M* (*πρόξενος ἐκ τῶν αὐτοῦ* T) || 15. *φυλακὴν* *M* (*κομιδὴν* scribi uult H) || 18. *λαθραίους* (uel *λαθραίας*) H: *λαθραίως* *M* || 20. *μή ⟨τις⟩* C: *μὴ* *M* || 21. *μὴ ὁ* T: *μήθ'* *M*

*τρυόνων τὰς φωνὰς ἀφανίζειν τόνδε τὸν καιρόν, ἐπικαύσαντά τι τοῦ σώματος·* [καὶ γὰρ αἱ τούτων φωναὶ
3 ὄρθρου φθεγγόμεναι ἐκφαίνουσι τὸ μέλλον.] *ἐποίησαν δέ τινες καὶ τοιόνδε τεχνάσαντες. στασιασμοῦ προσποιητοῦ μετὰ προφάσεως εὐλόγου γενομένου παρ' αὐτοῖς, καιρὸν τηρήσαντες καὶ ἐπεξελθόντες ἐπέθεντο παρ'*
4 *ἐλπίδα τοῖς πολεμίοις καὶ κατώρθωσαν. ἤδη δέ τινες τειχήρεις ὄντες καὶ ὧδε ⟨ἔλαθον ἐπεξ⟩ελθόντες. τὰς μὲν πύλας ἀνέδειμαν ὁρατῶς τοῖς πολεμίοις· ᾗ δὲ μάλιστα εὐεπιθέτους εἶχον τοὺς ἐναντίους, ταύτῃ κατεπέτασαν ἱστίον, καὶ ἀνῆραν διὰ χρόνου τινός, ὥστε κατ' ἀρχὰς μὲν θαυμάσαι τοὺς πολεμίους, ὕστερον*
5 *δὲ καὶ πολλάκις γιγνομένου ἀμέλειαν εἶχον. οἱ δὲ ἐν τῇ πόλει ἐν νυκτὶ διελόντες τοῦ τείχους ὅσον ἤθελον, καὶ ἀντιδομὴν παρασκευασάμενοι κατεπέτασαν τὸ ἱστίον, τηρήσαντες δὲ καιρὸν ⟨καὶ⟩ ἐπεξελθόντες ἐπέθεντο παραδόξως τοῖς πολεμίοις·* [ποιοῦντες δὲ ταῦτα
6 ἐφύλασσον μή τις αὐτομολήσῃ.] *οὐ μὴν οὐδ' ἐν ταῖς νυξὶν ἀσκέπτως μετ' ὄχλου ἐκπορευτέον. οἷα καὶ ἐν τοῖς ⟨τοιούτοις⟩ καιροῖς τῶν ἐπιβουλευόντων τινὲς τεχνάζουσιν, οἳ μὲν ἔσω τῆς πόλεως οἳ δὲ καὶ ἔξωθεν,*

---

1. *φωνὰς M* (*ᾠδὰς* H) | Post *ἀφανίζειν* in *M* est *ἄφωνα ποιοῦντα*: expunxit H || 2. *καὶ γὰρ* — 3. *τὸ μέλλον* inclusi suadente H in Herm. VII p. 242. Idem enim cum proponerem Prolegom. meor. pg. 26, fugiebat me in hanc suspicionem Hercherum ante me incidisse l. l. | *ἐποίησαν* H: *ἐποιήσαντο M* || 5. *γενομένου* C: *γενομένης M* || 8. *ἔλαθον ἐπεξελθόντες* T: *ἐλθόντες M* (*ἐπεξῆλθον* O) || 10. *εὐεπιθέτους εἶχον τοὺς ἐναντίους* H: *εὐεπιθέτως εἶχεν τοῖς ἐναντίοις M* || 11. *ἱστίον* H: *ἀγγεῖον M* (*ἀγ* ex *αν* terminatione praecedentis uocis exortum uidetur) *ἄρμενον* Hertlinus (*ἀκάτειον* Kirchhoffius) | *ἀνηραν M* || 12. *κατ'* C: *καὶ M* || 13. *γινομένου M* || 16. *καὶ* post *καιρὸν* addidit H || 17. *ποιοῦντες* — 18. *αὐτομολήσῃ* Sauppius inclusit coll. §. 23 || 18. Post *αὐτομολήσῃ* in *M* est *διὸ δεῖ μηδὲν τῶν τοιούτων παρορᾶν*: expunxit H || 19. *ἐκπορευτέον* C: *ἐκπορευταῖον M*. Post hanc uocem lacunam esse putat H || 20. *τοιούτοις* add. C

ἐνεδρευομένας ὁδοὺς ἐπορεύθη πρὸς τὸ Ἴλιον, ἀλλὰ
ἄλλας πορευθεὶς ἔλαθέ τε ἐν τῇ νυκτὶ καὶ ἦλθε πρὸς
12 τὰς πύλας. καὶ ἔλαθόν τινες ⟨τῶν σὺν αὐτῷ⟩ εἰσελ-
θόντες εἰς τὴν πόλιν ἐν τῷ θορύβῳ, ὡς τοῦ Χαρι-
13 δήμου ὄντες στρατεύματος. ἔπειτα πρὸ τοῦ πλείους
εἰσελθεῖν ἐγνώσθησαν τῷ συνθήματι καὶ οἳ μὲν ἐξ-
έπεσον αὐτῶν, οἳ δὲ περὶ τὰς πύλας διεφθάρησαν·
τοῖς μὲν γὰρ ἦν τὸ σύνθημα Τυνδαρίδαι, τοῖς δὲ
14 Διόσκοροι. καὶ παρὰ τοῦτο ἐγένετο ⟨τὴν⟩ πόλιν μὴ
ἀντικαταληφθῆναι παραχρῆμα ὑπὸ τοῖ Ἀθηνοδώρου
ἐν τῇ αὐτῇ νυκτί. παραγγέλλειν οὖν χρὴ τὰ συν-
θήματα εὐμνημόνευτά τε καὶ ὡς μάλιστα ἀδελφὰ ταῖς
15 μελλούσαις πράξεσι γίγνεσθαι, οἷον τάδε. ἐπὶ μὲν
ἄγραν πορευόμενον Ἄρτεμιν Ἀγροτέραν, ἐπὶ δὲ κλο-
πήν τινα πράξεως Ἑρμῆν Δόλιον, ἐπὶ δὲ βιασμὸν
Ἡρακλέα, ἐν δὲ τοῖς φανεροῖς ἐγχειρήμασιν Ἥλιον
καὶ Σελήνην, καὶ ὡς μάλιστα ὁμότροπα τούτοις καὶ
16 κοινότατα πᾶσιν. Ἰφικράτης δὲ οὐδὲ ⟨τὸ⟩ αὐτὸ σύν-
θημα ἐκέλευε τὸν περίοδόν τε καὶ φύλακα ἔχειν,
ἀλλὰ ἕτερον ἑτέρῳ δεδόσθαι, ἵνα ὁ μὲν πρότερος
ἐρωτηθεὶς ἀποκρίνηται Ζεὺς Σωτήρ, ἐὰν τοῦτο ἔχων
τύχῃ, ὁ δ' ἀντερωτηθεὶς Ποσειδῶν· οὕτω γὰρ ἂν
ἥκιστα σφάλλοιντο ὑπὸ τῶν πολεμίων καὶ ἐξαυτομο-

---

3. ἔλαθόν τινες ⟨τῶν σὺν αὐτῷ⟩ εἰσελθόντες H: ἔλαθόν τινες συνελθόντες *M* (συνεισελθόντες T) ‖ 5. πλείους H: πλείονος *M* (πλείονας C) ‖ 8. τοῖς δὲ C: τοῦ δὲ *M* ‖ 9. Διόσκοροι C: διοσκουροι *M* | ⟨τὴν⟩ πόλιν H: πάλιν *M* (πόλιν T) ‖ 12. ὡς μάλιστα T: μάλιστα ὡς *M* ‖ 13. γίνεσθαι *M* ‖ 14. πορευόμενον H: πορευόμενος *M* | κλοπήν τινα πράξεως scripsi: κλοπήν τινα πράξεων *M* (κλοπὴν πράξεως H) ‖ 15. βιασμὸν C: βιασμῶν *M* ‖ 16. ἐν δὲ τοῖς H: τοῖς δὲ *M* ‖ 18. ⟨τὸ⟩ αὐτὸ C: αὐτὸ *M* ‖ 19. τὸν περίοδον C: τὴν περίοδον *M* ‖ 20. ὁ μὲν πρότερος scripsi: ὁ μὲν τὸ πρῶτον *M* (ὁ μὲν πρῶτος Hertlinus) ‖ 22. ἀντερωτηθεὶς C: ἂν ἐρωτηθεὶς *M* ‖ 23. καὶ ante σφάλλοιντο inseri uult H

⟨τι⟩ προσυγκείμενον φωνῆσαι ἢ ψόφον ἐμφανίσαι· ἐν
δὲ τοῖς φαεινοῖς χρόνοις τὸν μὲν ἐρωτῶντα τὸ σύν-
θημα τὸν πῖλον ἀφελέσθαι ἢ ἐν τῇ χειρὶ ἔχοντα ἐπι-
3 θέσθαι, ἔτι δὲ καὶ ἐπαγαγέσθαι τὸν πῖλον ἐπὶ τὸ
4 πρόσωπον καὶ ἀπαγαγέσθαι ἀπὸ τοῦ προσώπου, ἔτι
δὲ καὶ τὸ δόρυ καταπῆξαι προσιόντα ἢ εἰς τὴν ἀρι-
στερὰν χεῖρα λαβεῖν ἢ ἔχειν ἐν τῇ χειρὶ ἄραντα, τὸν
δὲ ἐρωτώμενον τό τε σύνθημα ἀποκρίνασθαι καὶ
τοιοῦτόν τι προσυγκείμενον ποιῆσαι.

**26** Περιοδεύειν ⟨δὲ⟩ ἐν τοῖς κινδύνοις πρῶτον τῶν
ἐν τῇ ἀγορᾷ ἠθροισμένων λόχων δύο ὑπὸ τὸ τεῖχος
ἐναλλὰξ ἀλλήλοις, διεσκευασμένους τοῖς ὑπάρχουσιν
ὅπλοις καὶ * * παρασυνθήμασιν, ὥστε ἀκριβῶς ἐκ
2 πλείονος διαγνῶναι ἑαυτούς. τοὺς δὲ τὴν πρώτην
φυλακὴν περιοδεύοντας ἀδείπνους χρὴ περιοδεύειν·
τυγχάνουσι γὰρ οἱ τὴν πρώτην προφυλάσσοντες ἀπὸ
δείπνου ὄντες ῥαθυμοτέρως τε καὶ ἀκολαστοτέρως
3 διακείμενοι. περιοδεύειν δὲ ἄνευ λαμπτῆρος, ἂν μὴ
λίαν χειμὼν ᾖ καὶ σκότος· εἰ δὲ μὴ [οὕτω], ὁ λαμπτὴρ
φεγγέτω εἰς ὕψος μὲν μηδέν (κεκαλύφθω γάρ τινι),
ἐπὶ δὲ τὴν γῆν καὶ τὰ πρὸ τῶν ποδῶν μόνον φεγ-

---

1. Pro *ἐν δὲ τοῖς φαεινοῖς χρόνοις* legendum esse *ἐν δὲ τοῖς φαεινοτέροις* suspicatur H ‖ 4. *ἔτι* H: *ἔστιν* *M* ‖ 7. *χεῖρα λαβεῖν* H: *παραλαβεῖν* *M* (*μεταβαλεῖν* Hauptius) | *ἢ ἔχειν ἐν τῇ χειρὶ ἄραντα* expunctum ab Herchero recte defenditur a Sauppio. Sequitur in *M* *ἢ ἀνελέσθαι*: deleuit H ‖ 9. *τοιοῦτόν τι* Hertlinus: *τούτων τι* *M* (*ἄλλο τι* H) ‖ 10. *δὲ* post *περιοδεύειν* inseruerunt T | Inter *πρῶτον* et *τῶν* in *M* est *δὲ*: deleuit H ‖ 12. Pro *ὑπάρχουσιν* malim *ἐπαρκοῦσιν* ‖ 13. Lacunam significaui, quam sic fere expleuerim ⟨*τοῖς συνθήμασι καὶ*⟩ *παρασυνθήμασιν* | *παρασυνθήμασιν* C: *παρασύνθημα* *M*, ⟨*τοῖς*⟩ *παρασυνθήμασιν* H | *ὥστε* Hauptius: *ὡς* *M* ‖ 16. *ἀπὸ δείπνου ὄντες* C: *οτιοδειπνουοντοσ* *M* ‖ 19. *εἰ δὲ μὴ* scripsi: *εἰ δὲ μὴ οὕτω* *M* (*εἰ δὲ μή, οὕτως* T, *εἰ δὲ εἴη σκότος* H, *εἰ δὲ εἴη οὕτω* Sauppius) ‖ 21. *τὰ* ante *πρὸ* eici uult H | *τῶν ποδῶν* C: *τῶν διπων* *M*

9 *καὶ ἀνάληψιν αὐτῶν τραπέσθαι.* [καὶ περιόδους ἐν τοῖς
τοιούτοις καιροῖς ἐκ πλείονος χωρίου καταδήλους εἶναι προσιόν-
τας τοῖς φύλαξι φωνοῦντάς τι πόρρωθεν, ὅπως ἂν ἐγερθῇ ἐὰν
καθεύδῃ ὁ προφύλαξ, καὶ παρασκευάσηται ἀποκρίνεσθαι τὸ ἐρω-
10 τώμενον.] *ἄριστον δὲ αὐτὸν τὸν στρατηγὸν ἐν τοῖς
τοιούτοις καιροῖς ἐπιμελῶς ἑκάστοτε περιοδεύειν μετὰ
ἀπολέκτων ἀνδρῶν.* [ὑπεναντίως δὲ τούτοις διακειμένου τοῦ
11 στρατεύματος ἐπισπερχεστέρως τοὺς φύλακας ἐξετάζειν.] *ἐφο-
δεύειν τε τὸν στρατηγὸν μηδέποτε τὴν αὐτὴν ὥραν
ἀλλ' ἀεὶ διαλλάσσοντα, ἵνα μὴ προειδότες σαφῶς ἐκ
πολλοῦ χρόνου τὴν ἄφιξιν τοῦ στρατηγοῦ οἱ στρα-
12 τιῶται ταύτην μάλιστα τὴν ὥραν φυλάσσωσιν. ἀπο-
δέχονται δέ τινες καὶ τόδε ἐπαγγελλομένων τινῶν
καὶ κελευόντων. τὸν πολίταρχον, ἐὰν μὴ θέλῃ πε-
ριοδεύειν διὰ φόβον τινὰ ἢ ἀρρωστίαν, θέλῃ δὲ εἰ-
δέναι τὸν μὴ φυλάσσοντα καθ' ἑκάστην φυλακήν,
13 τάδε ποιεῖν χρή. λαμπτῆρα εἶναι προσυγκείμενον
πᾶσι τοῖς ἐπὶ τῷ τείχει φύλαξι, πρὸς ὃν πάντες ἀνταρ-
ροῦσιν οἱ προφύλακες· αἱρέσθω δὲ ἐκ τόπου ὅθεν
14 πάντες ὄψονται οἱ ἐπὶ τῷ τείχει φύλακες. ἐὰν δὲ
μὴ ὑπάρχῃ τοιοῦτος τόπος, παρασκευασθήτω ἔκ τινων
ὕψος ὡς μέγιστον. ἔπειτα ἀπὸ τούτου αἱρέσθω λαμ-*

---

1. *καὶ περιόδους* — 4. *τὸ ἐρωτώμενον* (§ 9) inclusi | *τοὺς* ante *περιόδους* adiecit C ‖ 2. *χωρίου* deleuit H ‖ 4. *ἀποκρίνεσθαι* *M* (*ἀποκρίνασθαι* H) ‖ 6. *ἑκάστοτε* H: *ἕκαστον* *M* | *μετὰ ἀπολέκτων ἀνδρῶν* H: *μετὰ τῶν αὐτῶν ἀποδεκτων ἀνδρῶν* *M* (*μετὰ τῶν αὐτῶν ἀπολέκτων ἀνδρῶν* C: *μετὰ τῶν αὐτῷ ἀπολέκτων ἀνδ.* T) ‖ 7. *ὑπεναντίως* — 8. *ἐξετάζειν* inclusi | *ὑπεναντίως* C: *ὑπεναντίοις* *M* | *τοῦ* cod. Cas.: deest in *M* ‖ 10. *ἀεὶ διαλλάσσοντα* Hauptius: *ἰδίᾳ λαμβάνοντα* *M* | *προειδότες* T: *προιδόντες* *M* ‖ 15. Pro *φόβον* scribi uult *νόσον* H ‖ 17. *λαμπτῆρα* H: *λαμπτῆρας* *M* ‖ 18. *πρὸς ὃν* H: *καὶ πρὸς ὃν* *M* (*λαμπτῆρας* — *καὶ ἕνα πρὸς ὃν* T) , *ἀνταρροῦσιν* Meinekius: *ἀνταίρουσιν* *M* ‖ 19. *αἱρέσθω* Hertlinus: *ἀειρέσθω* *M* ‖ 20. *οἱ ἐπὶ τῷ τείχει φύλακες* H: *οἱ ἐπὶ τοῦ τείχους φύλακες* *M* ‖ 21. *τοιοῦτος* Hertlinus: *ὁ τοιοῦτος* *M*

δὲ γενομένης καὶ νικηθέντων ὡς τὰ πολλὰ γίγνονται
φόβοι, ἐνίοτε μὲν καὶ ἡμέρας, νυκτὸς δὲ καὶ πάνυ.
5 ὡς οὖν ἧσσόν τι τοιοῦτο γένηται, χρὴ εἰς τὴν νύκτα
παρηγγέλθαι τοῖς στρατιώταις πᾶσι παρὰ τὰ ὅπλα
6 εἶναι ὡς μάλιστα, ὡς ἐσόμενόν τι περὶ αὐτούς. προ-
ειδότων οὖν εἰκός ἐστιν, ἐάν τι γένηται, μὴ ἀπροσ-
δοκήτοις προσπεσεῖν, μηδὲ ὑπὸ φόβων ἐξαπιναίων
7 ταράσσεσθαι καὶ ἀπόλλυσθαι. Εὐδαμίδας δέ, ὁ Λα-
κώνων ἁρμοστὴς ἐπὶ Θρᾴκης, ἐπεὶ αὐτῷ πυκνὰ ἐγί-
γνοντο ἐν τῷ στρατεύματι τὰς νύκτας φόβοι, καὶ οὐκ
ἐδύνατο ἄλλῳ τρόπῳ παῦσαι, τοιόνδε παρήγγειλεν
8 εἰς⟨τὴν⟩νύκτα. ὅταν τις θόρυβος γίγνηται, ἀνακαθίζειν
πάντας εὐθὺς παρὰ τὰ ὅπλα ἐν τῇ εὐνῇ, ἀνίστασθαι
δὲ μηδένα ὀρθόν· ἂν δέ τις ἴδῃ τινὰ ὀρθόν, ὥσπερ
9 πολεμίῳ τῷ ἀναστάντι χρῆσθαι. πρὸς δὲ τούτοις, ὅπως
ἀληθῶς τὸ παράγγελμα μετὰ φόβου ᾖ, γενομένου τινὸς
θορύβου ἐπλήγη τις τῶν σπουδαιοτέρων ἀνδρῶν οὐχὶ
θανατηφόρως, τῶν δὲ φαύλων τινὲς ὥστε καὶ ἀποθανεῖν.
10 συμβάντος δὲ τούτου ὑπήκουσάν τε οἱ ἄνθρωποι, καὶ
εὐλαβούμενοι ἐπαύσαντο τῶν τε θορύβων καὶ τοῦ
περιδεῶς ἐξανίστασθαι ἐκ τῶν κοιτῶν. ἐπαύθη δὲ

---

1. *γίνονται M* ‖ 2. Ante *νυκτὸς* in *M* est *καί*: deleuit Meinekius ‖ 3. *ὡς οὖν ἧσσόν τι τοιοῦτο γένηται, χρὴ* H: *ὥστε οὖν ἧσσόν τις τοιοῦτον γενέσθαι χρὴ M* ‖ 4. *παρὰ* T: *κατὰ M* ‖ 5. *προειδότων* H: *προειδότες M* ‖ 6. *γένηται* C: *γίνηται M* ‖ 8. *Εὐδαμίδας* (cf. Xen. Hell. V 2, 24. Diod. XV 21) Arn. Schaeferus Philol. XXXI 185: *Εὐφράτας M* ‖ 9. *πυκνὰ M*: *πυκνοὶ* malit H | *ἐγίνοντο M* ‖ 11. *ἐδύνατο* H: *ἠδύναντο M* (*ἠδύνατο* Meierus) ‖ 12. *τὴν* ante *νύκτα* inseruit H | *γίνηται M* ‖ 13. *πάντας* H: *αὐτοὺς M* | *παρὰ τὰ ὅπλα* H: *πρὸς τὰ ὅπλα M* ‖ 14. Post *τινὰ ὀρθὸν* in *M* est *παρήγγειλεν ἐν πᾶσιν*: expunxit H ‖ 15. *ἀναστάντι* H: *ἐπαναστάντι M* | Post *χρῆσθαι* in *M* est *διὰ γὰρ τὸν φόβον τοῦ παραγγελθέντος οὐδένα ἂν ᾤετο ἀμνημονήσειν*: deleuit H ‖ 16. *ἀληθῶς* H: *ἀληθὲς M* | *μετὰ φόβου ᾖ, γενομένου* T: *μετὰ φόβου ἡγεμόνος M* ‖ 18. *θανατηφόρως* cod. Cas.: *θανατηφόρον M* | *τινὲς* C: *τινὰ M* ‖ 20. *εὐλαβούμενοι* cod. C: *εὐλαβουμένου M*

νισθῇ καθαρὰ ὄντα πολεμίων· καὶ ἀπιέναι τοὺς ἀπὸ τῶν φυλακείων μὴ ἅμα πάντας ἀλλὰ κατὰ μέρη, ὅπως ἀεί τινες ἐπὶ τοῖς φυλακείοις διατελῶσιν.]

28 *Προνοεῖσθαι δὲ καὶ τάδε ἐν φόβῳ οὔσης ⟨τῆς⟩
*πόλεως. πύλας τὰς μὲν ἄλλας κεκλεῖσθαι, μίαν δὲ
*ἀνεῷχθαι ᾗ ἂν δυσπροσοδώτατον ᾖ τῆς πόλεως, καὶ
*ἐπὶ πλεῖστον ἀπ' αὐτῆς μέλλωσιν ὁρᾶσθαι οἱ πρόσ-*
2 *ιόντες. καὶ ἐν ταύτῃ ἐκτομάδα ⟨εἶναι⟩, ἵνα σώματα
*ἀνθρώπων δι' αὐτῆς ἐξίῃ καὶ εἰσίῃ καθ' ἕν· οὕτω
*γὰρ ἂν ἥκιστά τις λανθάνοι αὐτομολῶν ἢ κατάσκοπος*
3 *εἰσιών, ἐάνπερ γε ᾖ ὁ πυλωρὸς φρόνιμος. ⟨πᾶσαν⟩
*δὲ ἀνοίγεσθαι ὑποζυγίων ἕνεκα καὶ ἁμαξῶν καὶ ⟨ἄλ-*
*λων⟩ ἀγωγίμων ἐπισφαλές. καὶ ἐάν τι δέῃ εἰσενέγ-*
*κασθαι σίτου ἢ ἐλαίου ἢ οἴνου ἢ τῶν ὁμοτρόπων
*τούτοις ἁμάξαις ἢ σωμάτων πλήθει, ταῦτα χρὴ κατὰ
*τὰς ἐγγυτάτω πύλας εἰσκομίζειν, **† καὶ ἐὰν τάχιστα*
4 *καὶ ῥᾷστα εἰσκομισθείη. τὸ δ' ὅλον μὴ ἀνοίγεσθαι
*πρῲ τὰς πύλας ἀπροσκέπτως ἀλλ' ὀψιαίτερον, ἔξω τε*

---

*πρὶν ἢ* ‖ 1. *καθαρὰ ὄντα* Hertlinus: *καὶ καθαρὰ εἶναι M* | Post *καὶ* in *M* est *οὕτω*: expunxit H | *φυλακείων* C: *φυλάκων M* ‖ 2. *ἅμα πάντας* Meinekius: *ἅπαντας M* ‖ 4. *τῆς* ante *πόλεως* addidi ‖ 7. *αὐτῆς* Hertlinus: *αὐτῶν M* | *μέλλωσιν* Meierus: *μέλλουσιν M* ‖ 8. *καὶ ἐν ταύτῃ ἐκτομάδα ⟨εἶναι⟩ ἵνα* H: *καὶ ἐν ταύτῃ ἐκτομάδα ἵνα M* (*καὶ ⟨εἶναι⟩ ἐν ταύτῃ ἐκτομάδα ἵνα* T) | Post *σώματα* in *M* est *μὲν*: expunxit H ‖ 9. *δι' αὐτῆς* Iul. African. XLIX et ex eo H: *κατὰ τὴν ἐκτομάδα πυλίδα M* | *καθ' ἓν* H: *καθ' ἕνα M* (*ἓν καθ' ἓν* Iul. Afr.) ‖ 10. *λανθάνοι* Meierus, *λανθάνῃ M* ‖ 11. *φρόνιμος* H coll. I 4, III 4, V 1, XV 3: *νοηρὸς M* (*νοήμων* C, *νοερὸς* T) | *πᾶσαν δὲ* H: *δὲ M* (*πᾶν δὲ* Iul. Afric.) ‖ 12. *ἕνεκα* H: *ἕνεκεν M* | *ἄλλων ἀγωγίμων* Iul. Afric.: *ἀγωγίμων M* ‖ 13. *ἐπισφαλὲς* C: *ἐπισφα M* ‖ 14. Post *ἢ οἴνου* in *M* est *ἐν τάχει*: expunxit H ‖ 15. *πλήθει* Iul. Afr.: *πάθη M* | *ταῦτα* C: *ταῦτα δὲ M* ‖ 16. *ἐγγυτάτω* H: *ἐγγυτάτας M* | *εἰσκομίζειν* H: *κοιμίζειν M* | Post *εἰσκομίζειν* asteriscos fecit H: ex Iulii Africani uerbis *προεξιόντος στρατεύματος* lacunam esse explendam statuens hoc fere modo: *προεξιόντος μέρους τῶν πολιτῶν* | *καὶ ἐὰν M* uerba corrupta (*ἵνα ὡς* T, *καὶ οὕτως ἂν* H) ‖ 18. *πρῲ* Meinekius: *πρωὶ M*

7 πολεμίους.] *ἃς ἔδει ἐν καιρῷ τινι ὑφαφθῆναι, ἵνα αἱ*
*πύλαι ἐμπρησθῶσι καὶ πρὸς τὸ σβεννύειν τῶν Πα-*
*ριανῶν ὁρμησάντων αὐτὸς κατὰ ἄλλον τόπον εἰσέλθῃ.*
29 *Περὶ δὲ τῶν εἰσκομιζομένων εἰς τὴν πόλιν ἀγ-*
2 *γείων τε καὶ φορημάτων νῦν δηλωθήσεται. ἅπερ*
*εὐλαβεῖσθαι δεῖ καὶ μὴ ἀφροντίστως αὐτῶν ἔχειν,*
*καὶ μάλιστα τὸν πυλωρὸν ἔν τισι καιροῖς, ὅταν ἔξω-*
3 *θέν τι ἢ ἔσωθεν φοβερὸν ᾖ. ἐξοίσω δὲ παραδείγματος*
*ἕνεκα ἐπὶ πρᾶξιν εἰσηγμένα. κατελήφθη γὰρ πόλις,*
*ἔσωθέν τινων συνεθελόντων, ἐν ἑορτῇ πανδήμῳ τρόπῳ*
4 *τοιῷδε. πρῶτον μὲν τοῖς προενδημήσασι ξένοις καὶ*
*τῶν πολιτῶν τοῖς ἀνόπλοις τε καὶ συνεργοῖς εἰς τὸ*
*μέλλον ἐσομένοις εἰσεκομίσθησαν θώρακες λινοῖ καὶ*
*σπολάδες καὶ περικεφαλαῖαι* [ὅπλα] *κνημῖδες μάχαιραι*
*τόξα τοξεύματα ἐν κιβωτοῖς ὡς φορταγωγοῖς κατε-*
*σκευασμέναις, ὡς ἱματίων ἐνόντων καὶ ἄλλων ἀγω-*
5 *γίμων, ἅσπερ οἱ ἐλλιμενισταὶ ἀνοίξαντες καὶ ἰδόντες*

---

sunt). Ad *ἃς ἔδει* cf. XXXI 2: *παρ' ὃν ἔδει* ‖ 3. Post *εἰσέλθῃ* in *M* est *δοκεῖ δέ μοι συναγαγόντα δηλωτέον ἵνα δὴ φυλάσσησθε καὶ ἐν οἷς καιροῖς ἕκαστα ἵνα τις μηδὲν εὐήθως ἀποδέχηται*: deleuit H ‖ 5. Post *φορημάτων* in *M* est *ενοισ ἀντικρυφαιονἐνίοισ ἤδη πόλισ καὶ ἡ ἀκρόπολισ κατελήφθη*, ex quibus Turicenses haec eruerunt: *ἐν οἷς ἄν τι κρυφαῖον ἐνῇ, ᾧ ἐνίοις ἤδη πόλις καὶ ἀκρόπολις κατελήφθη*: expunxit H ‖ 8. Post *ᾖ* in *M* est: *ἔστιν δέ οἷ προσεκτέον εἰσκομιζομένοις*: expunxit H | *δὲ* C: *δὲ καὶ M* ‖ 9. *ἕνεκα* H: *ἕνεκεν M* | *ἐπὶ πρᾶξιν εἰσηγμένα* scripsi conf. § 11: *ἐπὶ πράξει γεγενημένα M* (*τὰ ἐπὶ τοιαύτῃ πράξει γεγενημένα* T, *ἐπὶ Θρᾳξὶ γεγενημένα· κατελήφθη γὰρ Ἀμφίπολις* Meinekius Brasidam spectari censens) ‖ 10. *συνεθελόντων* T: *συνθελόντων M* ‖ 11. Post *ξένοις* in *M* est *ἐπὶ τὸ μέλλον*: expunxit H ‖ 12. *τῶν πολιτῶν* cod. Cas.: *πολιτῶν M* | Post *συνεργοῖς* uocem *εἰς τὸ μέλλον* inseruit H, Iulium Africanum L secutus qui *ἐπὶ τὸ μέλλον* post *ξένοις* (11) omissum hoc loco exhibet ‖ 14. *σπολάδες* H: *στολίδια M* | *περικεφαλαῖαι* T: *περικεφαλαῖα M* | *ὅπλα* inclusi suadente H; idem in proximis malit *καὶ κνημῖδες καὶ μάχαιραι καὶ τόξα καὶ τοξεύματα* ‖ 15. *κατεσκευασμέναις* H: *κατεσκευασμένα M* ‖ 17. *ἅσπερ* H: *ἅπερ M* | *ἰδόντες ἱμάτια μόνον* scripsi: *ἰδόντες ὡς ἱμάτια μό-*

*ἕτεροι δὲ τὰ ἄγγη τῶν ἀχύρων καὶ ἐρίων ⟨ἐξεκέ-*
*νουν⟩, οἳ δὲ τὰς σαργάνας ἀνέτεμνον, ἄλλοι δὲ τὰς*
*κιβωτοὺς ἀνοίγοντες τὰ ὅπλα ἐξῄρουν, οἳ δὲ τοὺς*
*ἀμφορέας συνέτριβον, ἵνα ταχεῖα ἡ λῆψις τῶν ἐγχει-*
9 *ριδίων γένοιτο.* [ἅμα δὲ ταῦτα καὶ οὐ πόρρω ὄντα ἀλλήλων
ἐπορσύνετο ἀπὸ σημείου τοῦ ἐν τῇ πόλει ταῖς ἔξω φάλαγξι γε-
10 νομένου.] *ὁπλισθέντες δ' ἕκαστοι τοῖς προσήκουσιν*
*ὅπλοις οἳ μέν τινες αὐτῶν ἐπὶ πύργους ὥρμησαν*
*καὶ πύλας καθ' ἃς καὶ ⟨τοὺς⟩ ἄλλους προσεδέχοντο,*
*οἳ δὲ ἐπὶ τὰ ἀρχεῖα καὶ τὰς ⟨τῶν⟩ ἐναντίων οἰκίας,*
11 *οἱ δὲ ἄλλοι ἄλλων τόπων εἴχοντο. εἰς δὲ ὁμοίαν*
*πρᾶξιν τῇ εἰρημένῃ δεόμενοί τινες ἀσπίδων ἐπεὶ*
*οὐδενὶ ἄλλῳ τρόπῳ ἐδύναντο ἑτοιμάσασθαι οὐδὲ εἰσ-*
*αγαγέσθαι, πλῆθος οἰσυίων καὶ ἐργάτας ἅμα τούτων*
12 *εἰσηγάγοντο. καὶ ἐν μὲν τῷ φανερῷ ἄλλα ἀγγεῖα*
*ἔπλεκον, ἐν δὲ ταῖς νυξὶν ἀσπίδας, αἷς ὄχανα προσ-*
*ετίθεσαν σκύτινα καὶ ξύλινα. ἀλλὰ μὴν οὐδὲ τῶν*
*κατὰ θάλατταν προσορμιζομένων πλοίων νυκτὸς καὶ*
*ἡμέρας οὔτε μεγάλων οὔτε μικρῶν ἀδιασκέπτως ἔχειν,*

---

1. *ἕτεροι* Meinekius: *ἕτερος M* | *ἐξεκένουν* inseruit H (*ἀνέλυον* uel *κατήγνουν* Meinekius) ‖ 2. *ἀνέτεμνον* H: *ἀνέτεμον M* ‖ 5. *ἅμα δὲ ταῦτα* — 6. *γενομένου* inclusi a barbaro homine scripta, qui tamen in extr. uerbis scripsisse uidetur *ταῖς ἔξω φάλαγξι γενομένου*: *καὶ ὡς φάλαγξι γινόμενον M* (*ἅμα δὲ καὶ ταῦτα οὐ πόρρω ὄντα ἀλλήλων ἐπορσύνετο ἀπὸ σημείου τον ἐν τῇ πόλει, καὶ ἡ ἔξω φάλαγξ ⟨ξυνεῖδε τὸ⟩ γινόμενον* T) ‖ 7. *ὁπλισθέντες* C: *ὁπλισθέντας M* ‖ 8. Post *ὥρμησαν* in *M* est *καταλαβεῖν*: expunxit H ‖ 9. *τοὺς ἄλλους* Iul. Afric.: *ἄλλους M* ‖ 10. *τὰς ⟨τῶν⟩ ἐναντίων οἰκίας* T: *τὰς ἐναντίας οἰκίας M* (*τὰς ἐναντίων οἰκίας* C) ‖ 11. *εἰς δὲ ὁμοίαν πρᾶξιν τῇ εἰρημένῃ* H: *εἰς δὲ ὁμοίας πράξεις τῶν εἰρημένων M* ‖ 14. *πλῆθος οἰσυίων* Sauppius: *ὅπλα, οισοιῶν M* (*ὅπλα, οἰσύας* C) | *τούτων* Hertlinus et Bursianus: *οὕτως M* (*τούτῳ* Sauppius) ‖ 16. *ἐν δὲ ταῖς νυξὶν ἀσπίδας* Hauptius: *ἐν δὲ ταῖς νυξὶν ὅπλα περικεφαλαίας· καὶ ἀσπίδας ἔπλεκον M* | *προσετίθεσαν* Meinekius: *περιετίθεσαν M* ‖ 17. *σκύτινα* C: *συκινα M*

10 δὲ καὶ ὧδε. κύστιν ἰσομεγέθη ληκύθῳ φυσήσαντα καὶ ἀποδήσαντα σφόδρα ξηρᾶναι, ἔπειτα εἰς αὐτὴν γράψαι ὅ τι ἂν βούλῃ μέλανι κατακόλλῳ. ξηραν-
11 θέντων δὲ τῶν γραμμάτων ἐξελεῖν τὴν πνοὴν τῆς κύστιδος καὶ συμπιέσαντα εἰς τὴν λήκυθον ἐνθεῖναι· τὸ δὲ στόμα τῆς κύστιδος ὑπερεχέτω τοῦ στόματος
12 τῆς ληκύθου. ἔπειτα φυσήσαντα τὴν κύστιν, ἵνα διευρυνθῇ ὡς μάλιστα, ⟨καὶ⟩ ἐλαίου ἐμπλήσαντα περιτεμεῖν τῆς κύστιδος τὸ ὑπερέχον τῆς ληκύθου καὶ προσαρμόσαι τῷ στόματι ὡς ἀδηλότατα, καὶ βύσαντα τὴν λήκυθον κομίζειν φανερῶς. διαφανές τε οὖν τὸ ἔλαιον ἔσται ἐν τῇ ληκύθῳ, καὶ οὐδὲν ἄλλο φανεῖται
13 ἐνόν. ὅταν δὲ ἔλθῃ παρ' ὃν δεῖ, ἐξεράσας τὸ ἔλαιον ἀναγνώσεται, ⟨καὶ⟩ φυσήσας τὴν κύστιν καὶ ἐκσπογγί-

---

τὰς ἐπιστολὰς οἷς ἔφερεν ἀποδοῦναι τὰ (τὰς C) δὲ παρ' ἐκείνων εἰ ἀληθές τι μηνύει παρ' αὐτὸν ἐνεγκεῖν καὶ ὁ μηνύων ταῦτ' ἔπραξεν. ὁ δὲ ἄρχων λαβὼν τὰς ἐπιστολὰς καὶ ἀνακαλεσάμενος τοὺς ἀνθρώπους τὰ σημεῖά τε ἐδείκνυεν τῶν δακτυλίων ἅπερ ὡμολόγουν αὐτὸν (αὐτῶν T) εἶναι καὶ λύων τὰ βιβλία ἐδήλου τὸ πρᾶγμα. τεχνικῶς δὲ δοκεῖ φωράσαι ὅτι τὰς πεμπομένας παρὰ τοῦ ἀνθρώπου ὅτι καὶ ἔλαβεν (οὐ κατέλαβε T) ἦν γὰρ αὐτοῖς ἀρνηθῆναι καὶ φάσκειν ἐπιβουλεύεσθαι ὑπό τινος τὰς δ' ἀνταποστελλομένας λαβὼν ἂν ἀντιλεπτως (ἀναντιλέκτως cod. C) ἤλεγξεν: expunxit H | Post κομίζεται δὲ existimat ἐπιστολὴ uocem excidisse H | In proximis cum Turicensibus ubique obliquam orationem restitui, et Aeneae consuetudinem et codicum plura testimonia secutus (Hercherus rectam fecerat) ‖ 1. Post ληκύθῳ in *M* est: ὁπόση ἀντιβούλει πρὸς τὸ πλῆθος τῶν γραφησομένων: expunxit H | φυσήσαντα καὶ ἀποδήσαντα T: φυσήσας καὶ ἀποδήσας *M* ‖ 2. ξηρᾶναι *M*: ξηρανεῖς H | εἰς αὐτὴν H: ἐν αὐτῆς *M* ‖ 3. γράψαι *M*: γράψεις H | βούλῃ Meierus: βούλει *M* ‖ 4. ἐξελεῖν T: ἐξέλε *M* ‖ 5. συμπιέσαντα T: συμπιέσαντας *M* (συμπιέσας C) | ἐνθεῖναι *M*: ἐνθεὶς H ‖ 7. στόματος T: στόματος *M* | φυσήσαντα T: φυσήσας *M* | Post τὴν κύστιν in *M* est: ἐν τῇ ληκύθῳ ἐνοῦσαν: deleuit H ‖ 8. διευρυνθῇ Gronouius: διευρύνθῃ *M* | καὶ ante ἐλαίου addiderunt T | ἐμπλήσαντα περιτεμεῖν *M*: ἐμπλήσας περιτεμεῖς H ‖ 10. προσαρμόσαι *M*: προσαρμόσεις H | βύσαντα *M*: βύσας H ‖ 11. κομίζειν *M*: κομιεῖς H ‖ 14. καὶ ante φυσήσας addidit H

*ἀπενέγκαντα εἰς οἶκον θεῖναι εἰς ἔλαιον. πάντα οὖν*
17 *τὰ γεγραμμένα φανεῖται. ⟨ἡ⟩ πασῶν δὲ ἀδηλοτάτη ⟨μὲν⟩ πέμψις πραγματωδεστάτη δὲ νῦν μοι ἐμφανισθήσεται· ἔστι δὲ τοιάδε. ⟨εἰς⟩ ἀστράγαλον εὐμεγέθη τρυπῆσαι ⟨τρυπήματα⟩ εἴκοσι καὶ τέτταρα, ἓξ εἰς ἑκάστην πλευρὰν τοῦ ἀστραγάλου· ἔστω δὲ τὰ τρυπήματα τοῦ ἀστραγάλου ⟨τὰ στοιχεῖα. διαμνημονεύειν⟩ δὲ ἀφ' ἧς ἂν πλευρᾶς ἄρξηται τὸ ἄλφα, καὶ τὰ ἐχόμενα ἅπερ ἐν ἑκάστῃ γέγραπται. μετὰ δὲ ταῦτα, ὅταν τινὰ θέλῃς ἐν αὐτοῖς τίθεσθαι λόγον, λίνον διείρειν. ⟨οἷον⟩ ἐὰν θέλῃς ΑΙΝΕΙΑΝ δηλοῦν τῇ διέρσει τοῦ λίνου, ἀρξάμενος ἐκ τῆς πλευρᾶς τοῦ ἀστραγάλου ἐν ᾗ τὸ ἄλφα ἐστί, παρελθὼν τὰ ἐχόμενα τούτου γράμματα, ὅταν ἔλθῃς εἰς ⟨τὴν⟩ πλευρὰν οὗ τὸ ἰῶτά ἐστι, δίειρον πάλιν, παρεὶς δὲ τούτου τὰ ἐχόμενα, ὅπου συμβαίνει τὸ ν̄ εἶναι, ⟨δίειρον⟩ καὶ πάλιν παρεὶς τὰ ἐχόμενα τούτου, ὅπου ⟨τὸ⟩ ε̄ι ἐστί, δίειρον τὸ λίνον, καὶ οὕτω τὰ ἐπίλοιπα τοῦ λόγου ΙΑΝ γράφων ἔνειρον εἰς τὰ*

---

2. ⟨ἡ⟩ *πασῶν δὲ ἀδηλοτάτη* ⟨*μὲν*⟩ *πέμψις πραγματωδεστάτη δὲ* Sauppius: *πασῶν δὲ ἀδηλοτάτη πέμψις πραγματωδεστάτη δὲ M* (*πέμψις δὲ πασῶν μὲν ἀδηλοτάτη πρ. δὲ* H) ‖ 3. *νῦν μοι ἐμφανισθήσεται* H: *νῦν μοι διὰ γραμμάτων ἐμφανισθήσεται M* (*διὰ γραμμάτων νῦν μοι ἐμφανισθήσεται* Co. O) ‖ 4. *εἰς* addid. T ‖ 5. *τρυπήματα* inseruit H ex Iulio Afr. LII ‖ 7. *τὰ στοιχεῖα διαμνημόνευε δὲ* ex Iul. Africano inseruerunt T, de suo *τὰ* addentes: *M* pro his solum *δ̄* habet. Ceterum etiam in hoc exemplo olim fuisse orationem obliquam puto, quare *διαμνημονεύειν* scripsi ‖ 8. *ἄρξηται* ex Iul. Afr. T: *ἄρξῃ M* (*ἄρχηται* malit H) ‖ 10. *λίνον* T: *λίνω M* | *διείρειν* C: *διαιρεῖν M*: *δίειρον* H | *οἷον* inseruerunt T ‖ 11. *θέλῃς ΑΙΝΕΙΑΝ* H: *ελήδινηαλί M* (*θέλῃς* Co. O; *ΑΙΝΕΙΑΣ* Haasius) | *τῇ* T: *ἐκ τῇ M* | *διέρσει* C: *διαιρέσει M* ‖ 13. *ἐστίν M* | *τούτου γράμματα* H: *τούτων παραγράμματα M* (*τοῦ ἰῶτα γράμματα* Iul. Afr.) ‖ 14. *ἔλθῃς* Iul. Afr.: *ἔλθῃ M* | *τὴν* addidit H | *οὗ το ἰῶτα* Iul. Afr.: *ὀντο τω τα M* | *διεῖρον M* ‖ 16. *τὸ ν̄ εἶναι* Co. O: *τονεῖναι M* | *δίειρον* post *εἶναι* inseruit ex Iul. Africano C ‖ 17. *τὸ* ante *ει* addiderunt T | *ε̄ι ἔστι* Haasius: *ἔνεστιν M* | *διεῖρον M* ‖ 18. *τὰ ἐπίλοιπα τοῦ λόγου ΙΑΝ γράφων* scripsi: *τὰ ἐπίλοιπα τοῦ λόγου ἀντιγράφων M*

*ἄλλα ἐν μέσῳ τοῦ κύκλου τρυπῆσαι, ἔπειτα οὕτω εἰς*
22 *τὰ στοιχεῖα ἐφεξῆς ὄντα τὸ λίνον ἐνεῖραι. ὅταν δὲ*
*δὶς τὸ αὐτὸ γράμμα συμβῇ γράφεσθαι, εἴς τι τῶν*
*ἐν μέσῳ τρυπημάτων προενείραντα εἰς τὸ αὐτὸ γράμμα*
23 *ἐνεῖραι·* [γράμμα δὲ λέγω τὸ τρύπημα]. *ἤδη δέ τινες*
*εἰς βιβλίον γράψαντες ὡς λεπτότατον μακροὺς στίχους*
*καὶ λεπτὰ γράμματα, ἵν' ὡς εὐογκοτάτη γένηται ἡ*
*ἐπιστολή, εἶτα ἐπὶ ᾤας χιτωνίσκου ἐπιθέντες καὶ ἐπι-*
*πτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν ἀνύποπτον ἐποίη-*
*σαν τὴν κομιδὴν τῆς ἐπιστολῆς* [καὶ ἐνδεδυκότος τινὸς
24 τὸν χιτωνίσκον καὶ οὕτω φερομένου]. [μαρτύριον δὲ ὅτι τὰ
εἰσπεμπόμενα μετὰ ἐπιβουλῆς χαλεπὸν φυλάξαι. οἱ γοῦν περὶ
Ἴλιον ἄνθρωποι ἐκ τοσούτου χρόνου καὶ οὕτω διατεταμένοι οὔπω
δύνανται φυλάξαι μὴ εἰσελθεῖν αὐτοῖς τὰς Λοκρίδας, ἀλλ' οἱ
Λοκροὶ προσέχοντες τῷ λαθεῖν, λανθάνουσιν ἀν' ἔτη πολλὰ εἰσ-

2. *ἐνεῖραι* H: *ἐνείρειν M* ‖ 3. *συμβῇ* H: *συμβαίνει M* (*συμβαίνῃ* Meierus) | *γράφεσθαι* H: *γράφειν M* | *εἴς τι* Hertlinus: *ἐκ M* ‖ 4. *προενείραντα* H: *προενείροντα M* ‖ 5. *γράμμα — τρύπημα* inclusi: *γράμμα δὲ* H: *γράμματα δὲ M* ‖ 6. *εἰς* Iul. Afr. LIII: *εἰς τὸ M* ‖ 7. *γένηται* Iul. Afric.: *γίνηται M* ‖ 8. *εἶτα ἐπὶ ᾤας χιτωνίσκου ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν ἀνύποπτον ἐποίησαν τὴν κομιδὴν τῆς ἐπιστολῆς* H partim ex Hauptii coniectura partim ex Iul. Afric.: *εἶτα ἐπὶ τῷ ωμῳ τοῦ χιτῶνος ὑποθέντες καὶ ἀποπτύξαντες τοῦ χιτωνίσκου ἐπὶ τῷ ὤμῳ ἀνύποπτος δὴ δοκεὶ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς M* (*εἰς τὸν ἐπὶ τοῦ ὤμου τοῦ χιτωνίσκου ὑποθέντες καὶ ἀποπτύξαντες ἀνύποπτον ἐποίουν τὴν κομιδὴν τῆς ἐπιστολῆς* Iul. Afr., *εἶτα ἐπὶ τῇ ᾤᾳ τοῦ χιτῶνος ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν, ἀνύποπτος δὴ δοκεῖ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς* Hauptius) ‖ 10. *καὶ ἐνδεδυκότος τινὸς τὸν χιτωνίσκον καὶ οὕτω φερομένου* inclusi auctore H ‖ 11. *μαρτύριον — 15. εἰσάγοντες* item inclusi eodem auctore H, qui huc quidem hoc exemplum non pertinere perspexit ‖ 13. Inter *Ἴλιον* et *ἄνθρωποι* in *M* est spatium quattuor litterarum | *ἄνθρωποι ἐκ* cod. Cas.: *ἄνθρωποι καὶ ἐκ M* | *διατεταμένοι* Hertlinus: *διατεταγμένοι M* ‖ 14. Post *Λοκρίδας* in *M* est *καίτοι τοσοῦτόν ἐστιν αὐτοῖς ἡ σπουδὴ καὶ ἡ φυλακή*: expunxit H | *οἱ Λοκροὶ* Sauppius: *ὀλίγοι M* ‖ 15. *ἀν' ἔτη* Hertlinus: *ανέτεα M* | Post *εἰσάγοντες* in *M* est *σώματα*: expunxit Sauppius

*σταγόραν, κελεύειν ξυρήσαντα κατιδεῖν εἰς τὴν κεφα-*
30 *λήν. τὰ δὲ στίγματα ἐσήμαινεν ἃ ἔδει ποιεῖν. γρά-*
*φειν δὲ καὶ ὧδε. προσυνθέμενον τὰ φωνήεντα γράμ-*
*ματα ἐν κεντήμασι τίθεσθαι· ὁπόστον ⟨δ'⟩ ἂν τύχῃ*
*ἕκαστον ὂν ἐν στοιχείοις γραφομένοις, τοσαύτας στιγμὰς*
31 *εἶναι. οἷον τόδε*

ΔΙΟΝΥΣΙΟΣ ΚΑΛΟΣ

Δ:: ::· Ν::: Σ:: ::· Σ Κ. Λ::· Σ

*καὶ τόδε ἄλλο*

ΗΡΑΚΛΕΙΑΔΑΣ ΗΚΕΤΩ

:.Ρ. ΚΛ.. :: Δ.: Σ:. Κ·· Τ:::·

[ἀντὶ τῶν φωνηέντων γραμμάτων τίθεσθαι † τί δαὶ]. *πολλοὶ δὲ*
32 *κατ' Ἤπειρον κυσὶν ἐχρήσαντο ὧδε. ἀπαγαγόντες νυκτὸς*
*δέσμιον περιέθηκαν περὶ τὸν αὐχένα ἱμάντα, ἐν ᾧ ἐπι-*
*στολὴ ἐνέρραπτο. εἶτα ἀφῆκαν μεθ' ἡμέραν † πρὸς ὃν ἐξ*
33 *ἀνάγκης ἔμελλεν ἥξειν ὅθεν ἀπήχθη. ἔστι δὲ τοῦτο ⟨καὶ⟩*

---

2. *ἔδει* H: *δεῖ* *M* || 5. *ἐν στοιχείοις γραφομένοις* scripsi: *ἐν τοῖς γραφομένοις* *M* || 6. *οἷον τόδε* H: *οιον τε δὲ* *M* || 7—11. *ΔΙΟΝΥΣΙΟΣ* et q. seqq. Casaubonus constituit: *Δ· N C C K Λ C* et *P K Λ Δ C K T* habet *M* || 9. *καὶ τόδε ἄλλο* quod in *M* legitur ante *ἀντὶ τῶν φωνηέντων* (12), huc transposui auctore H || 12. *ἀντὶ τῶν φωνηέντων γραμμάτων τίθεσθαι † τὶ δαὶ* (quod aut *τί δεῖ* aut *τάδε δεῖ* scribendum est) glossa marginalis librarii uel correctoris fuisse mihi uidetur, qui, quo modo in duobus illis exemplis uocales notandae essent, aut ignoraret aut siglis adpictis doceret | Post *τὶ δαὶ* in *M* est *καὶ τάδε τὰ πεμπόμενα γράμματα εἴς τινα τόπον τῷ πεμπομένῳ δῆλον γίνεσθαι ἐλθόντος τοῦ ἀνθρώπου εἰς τὴν πόλιν καὶ πωλοῦντός τι ἢ ὠνουμένου, ὅτι ἥκει αὐτῷ γράμματα καὶ κεῖται ἐν τῷ τόπῳ. καὶ οὕτω οὔτε ὁ φέρων οἶδεν ὅτῳ ἠνέχθη, οὔτε ὁ λαβὼν γνωστός ἐστι ὅτι ἔχει* del. H || 13. *ἀπαγαγόντες νυκτὸς δέσμιον* scripsi, *νυκτὸς* illo quod post *ἀφῆκαν* est in hunc locum transposito; loco suo *νυκτὸς* remotum esse adparet ex Iulio Afr. quoque cap. LIII | *δέσμιον* C: *δεσμὸν* *M* || 15. *ἐνέρραπτο* T: *ἐγέγραπτο* *M* | *ἀφῆκαν μεθ' ἡμέραν* ex Iulio Africano scripsi: *ἀφῆκαν νυκτὸς ἢ μεθ' ἡμέραν* *M*, uide supra | *πρὸς ὃν* mutilum est; fort. *πρὸς δὲ τοῦτον* scribendum (aut *ὃ δὲ* scribendum putat H aut *ὅθεν ἀπήχθη* eiciendum) || 16. *καὶ* adiecerunt T

πύργους ξυλίνους ἢ ἄλλα ὕψη ἐκ φορμῶν πληρου-
μένων ψάμμου ἢ ἐκ λίθων ἢ ἐκ πλίνθων. ἴσχοιεν δ'
ἂν τὰ βέλη καλάμων ταρσοὶ ὀρθίως καὶ πλαγίως
3 συντεθειμένων. ἡτοιμάσθαι δὲ καὶ τοῖς εἰς τὰ τείχη
μηχανήμασιν εἰσπίπτουσι κριῷ καὶ τοῖς ὁμοτρόποις
τούτῳ ἐρύματα ⟨τάδε⟩. σάκκους ἀχύρων πληροῦντα
προκρεμαννύειν ⟨καὶ⟩ ἀγγεῖα ἐρίων καὶ ἀσκοὺς βοείους
νεοδάρτους πεφυσημένους ἢ πεπληρωμένους τινῶν ⟨καὶ⟩
4 ἄλλα τούτοις ὁμότροπα. καὶ ὅταν ἢ πύλην ἢ ἄλλο
τι τοῦ τείχους διακόπτῃ, χρὴ βρόχῳ τὸ προῖσχον
ἀναλαμβάνεσθαι, ἵνα μὴ δύνηται προσπίπτειν τὸ μη-
5 χάνημα. παρασκευάζεσθαι δὲ ὅπως λίθος ἁμαξοπληθὴς
ἀφιέμενος ἐμπίπτῃ καὶ συντρίβῃ τὸ τρύπανον· τὸν
δὲ λίθον ἀφίεσθαι ἀπὸ τῶν προωστῶν, ἐχόμενον ὑπὸ
6 καρκίνων. ὅπως δὲ μὴ ἁμαρτάνῃ τοῦ τρυπάνου ὁ
λίθος φερόμενος, κάθετον χρὴ προαφίεσθαι, καὶ ὅταν
αὕτη πέσῃ ἐπὶ τὸ τρύπανον, εὐθὺς τὸν λίθον ἐπ-
7 αφίεσθαι. ἄριστον δὲ πρὸς τὰ διακόπτοντα τὸ τεῖχος
καὶ τόδε παρεσκευάσθαι. ᾗ ἂν κριὸς προσάγηται τῷ
τείχει, ταύτῃ χρὴ ἔσωθεν ἀντιπαρασκευάζειν ἀντίκριον,
διορύξαντα τοῦ τείχους μέχρι τοῦ ἔξω μέρους τῶν

---

Hertlinus: *ἀνταείρεσθαι M* | *δὲ* inserui suadente H ‖ 2. *ψάμμου M*: *ἄμμου* malit H | *ἴσχοιεν* Hertlinus: *ἴσχοι M* ‖ 3. *ὀρθίως καὶ πλαγίως συντεθειμένων* H: *ὀρθίων καὶ πλαγίων συντιθεμένων M* ‖ 4. *ἡτοιμάσθαι* Hertlinus: *ἡτοίμασται M* | *τείχη* C: *χείλη M* ‖ 5. *εἰσπίπτουσι* C: *εισπουσιν M* ‖ 6. *τούτῳ* Hertlinus: *τούτων M* | *τάδε* inseruit H ‖ 7. *προκρεμαννύειν* C: *προσκρεμαννύειν M* | *καὶ* ante *ἀγγεῖα* addid. T ‖ 8. *πεπληρωμένους* C: *πεπληρωμένων M* | *καὶ* ante *ἄλλα* addidit H ‖ 10. *προῖσχον* C: *προσίσχον M* ‖ 12. Ante *παρασκευάζεσθαι* in *M* est *καί*: deleuit H | *ἁμαξοπλήθης M* ‖ 13. *τὸ τρύπ.* C: *τὸν τρύπ. M* ‖ 14. *τῶν* expungi uult Kirchhoffius ‖ 16. *κάθετον* H: *καθέτην M* ‖ 17. *εὐθὺς* H: *εὐθὺ M* ‖ 19. *ᾗ ἂν κριὸς προσάγηται τῷ τείχει* H: *ὅταν γνῷς ἢ προσάγεσθαι τοῦ τείχους M* ‖ 20. *ἀντικριὸν M* ‖ 21. *τοῦ τείχους M*, a Sauppio defensum (*τὸ τεῖχος* H) | *ἔξω* H: *ἄλλου M* | *τῶν πλίνθων* C: *τὸν πλίνθον M*

33 *Χρὴ δὲ ταῖς προσαχθείσαις χελώναις ἐπιχεῖν
πίσσαν καὶ στυππεῖον καὶ θεῖον ἐπιβάλλειν, ἔπειτα
φλογώσαντα φάκελλον καὶ ἐξάψαντα ἐπαφιέναι σχοίνῳ
ἐπὶ τὴν χελώνην.* [τὰ δὲ τοιαῦτα προτεινόμενος ἀπὸ τοῦ τεί-
2 χους ἐπιβάλλεται τοῖς προσαγομένοις μηχανήμασι.] * * *πιμπρά-
ναι χρὴ ταῦτα ὧδε. παρεσκευάσθω ξύλον οἷον ὕπερον,
μεγέθει δὲ πολλῷ μεῖζον. καὶ εἰς μὲν τὰ ἄκρα τοῦ
ξύλου κροῦσαι σιδήρια ὀξέα, περὶ δὲ τὰ ἄλλα μέρη
τοῦ ξύλου καὶ ἄνω καὶ κάτω χρῖσαι πυρὸς σκευασίας
ἰσχυράς, τὸ δὲ εἶδος γενέσθω οἷον κεραυνὸς τῶν
γραφομένων. τοῦτο δὲ ἀφίεσθαι χρὴ εἰς τὸ προσ-
αγόμενον μηχάνημα οὕτως ὥστε ἐμπήγνυσθαι εἰς τὸ
μηχάνημα, καὶ ἐπινεμήσεται τὸ πῦρ ἐμπαγέντος αὐτοῦ.*
3 * * † *ἔπειτ' ἄν τινες ὦσι τῆς πόλεως ξύλινοι μόσυνες
ἢ τοῦ τείχεός τι, χρὴ τούτοις ὑπάρχειν πρὸς τὸ μὴ
ἐμπίπρασθαι ὑπὸ τῶν πολεμίων πίλους καὶ βύρσας
4 πρὸ τῶν ἐπάλξεων. ἐὰν δὲ ἐμπρησθῶσιν ⟨αἱ⟩ πύλαι, προσ-
φέρεσθαι ξύλα καὶ ἐμβάλλοντα ὡς μέγιστον τὸ πῦρ
ποιεῖν, μέχρι ἂν ταφρευθῇ τὰ ἔσωθεν.*

---

in *M* est *ἢ ὀρύσσεται*: expunxit H || 1. *προσαχθείσαις* H: *προσ-ενεχθείσαις M* || 2. *στυππεῖον* C: *στίππυον M* || 3. *φλογώσαντα* Iul. Afr. XLV: *φλογωθέντα M* | Pro his malit H: *ἔπειτα φάκελλον σχοίνων φλογώσαντα καὶ ἐξάψαντα ἐπαφιέναι ἐπὶ τὴν χελώνην.* In quibus cum displiceat *φάκελλος σχοίνων*, cf. Thuc. II 77, 3 *ὕλης φακέλλους*, malim et *φλογωθέντα* et *καὶ* et *σχοίνῳ* interpolatori attribuere || 4. *τὰ δὲ τοιαῦτα* — 5. *μηχανήμασι* inclusi | *προτεινό-μενος M* (*προτεινόμενα* T, *προωθούμενα* H) || 5. Asteriscos posuit H, qui *ἐμπιπράναι* et *καὶ* ante *ὧδε* scribi uelit. Fort.: *ἐμπιπράναι δὲ καὶ ὧδε* || 6. *ξύλον* H: *ξύλα M* | *οἷον ὕπερον, μεγέθει* H: *οἷόν ὑπερμεγέθη* (*οἷον ὕπερα, μεγέθη* Iac. Gronouius, *οἷον ὕπερα, μεγέθει* T) || 7. *μεῖζον* H: *μείζω M* || 8. *ὀξέα* H: *ὀξέα καὶ μείζω M* || 9. *χρῖσαι* H: *χωρὶς M* || 10. *τῶν γραφομένων* Hertlinus: *τὸ γραφόμενον M* || 13. Post *μηχάνημα* in *M* est *ἐσκευασμένον*: expunxit H | *ἐπινεμήσεται* H: *ἐπιμένειν M* || 14. Asteriscos feci | *ξύλινοι* superuacuum uidebatur Casaubono (*τῆς πόλεως μόσυνες ἢ τοῦ τείχεος ξύλινόν τι* T. Fort. *ἢ τοῦ τείχους ⟨ἄλλο⟩ τι ξύλινον.* cf. XXXII 4) || 16. *πίλους* Coraes: *πλείους* H || 17. *πρὸ τῶν ἐπάλξεων* scripsi. De plurali cf. Thuc. III 21: *πρὸς τὴν τάξιν M* (*πρὸς τὴν ἔπαλξιν* T) | *αἱ* add. H || 19. *μέχρι ἂν* H: *μέχρι*

*θύραν ἐκ σανίδων, ἔπειτ' ἐπὰν προσφέρηται ἡ κλῖμαξ, προϋποτιθέναι τῇ κλίμακι τῇ προσφερομένῃ· ὅταν δὲ προσίῃ ἡ κλῖμαξ πρὸς τὴν θύραν, ἐξ ἀνάγκης ὑπαχθείσης τῆς θύρας, ἡ κλῖμαξ πίπτει.* [σφονδύλου προϋποτιθεμένου, οὐδὲ προστεθῆναι δυνήσεται].

37 *Τοὺς δὲ ὑπορύσσοντας ὧδε κωλύειν. ἐὰν δοκῇ ὑπορύσσεσθαι, ὡς βαθυτάτην ἐκτὸς χρὴ τάφρον ὀρύσσεσθαι, ὅπως εἰς τὴν τάφρον τὸ ὑπόρυγμα ἀφίκηται*
2 *καὶ οἱ ὑπορύσσοντες ὀφθῶσιν. ἐὰν δέ σοι ὑπάρχῃ, καὶ τειχίον τειχίσαι εἰς αὐτὴν ὡς ἰσχυρότατον καὶ μεγίστων λίθων. ἐὰν δὲ μὴ ὑπάρχῃ τειχίσαι λίθοις,*
3 *ξύλα καὶ φορυτὸν κομίσαι. ᾗ δ' ἂν τὸ ὑπόρυγμα τῇ τάφρῳ προσπέσῃ, ταύτῃ ἐμβαλόντα ⟨τὰ⟩ ξύλα καὶ τὸν φορυτὸν ἐμπρῆσαι καὶ ἅμα κατασκεπάσαι, ὅπως ὁ καπνὸς εἰς τὸ διόρυγμα πορεύηται καὶ κακῶς ποιῇ τοὺς ἐν τῷ ὀρύγματι ὄντας· ἐνδέχεται γὰρ πολλοὺς*
4 *ἀπολέσθαι αὐτῶν ὑπὸ τοῦ καπνοῦ. ἤδη δέ τινες καὶ σφῆκας καὶ μελίσσας εἰς τὸ διόρυγμα ἀφέντες ἐλυ-*
5 *μήναντο τοὺς ἐν τῷ ὀρύγματι ὄντας. χρὴ δὲ γνωρίσαντα καθ' ὅν τινα τόπον ὑπορύσσουσιν, ἀνθυπ-*

1. *προσφέρηται* Meierus: *προφέρηται M* ‖ 2. *προϋποτιθέναι* Herwerdenus: *ὑποπροτιθέναι M* (*ὑποτιθέναι* H) ‖ 4. *σφονδύλου* — 5. *δυνήσεται* inclusi | *σφονδύλου* Hertleinus: *σπονδύλου M* ‖ 5. *προστεθῆναι* T: *προσσταθῆναι M* ‖ 6. *δοκῇ* cod. Cas.: *δοκῇς M* ‖ 7. *τάφρον* cod. Cas.: *τὴν τάφρον M* ‖ 10. *ἰσχυρότατον* O: *ἰσχυροτάτην M* ‖ 11. *λίθοις* Iul. Afr. LIV: *λίθους M* ‖ 12. *ξύλα καὶ φορυτὸν* H coll. § 3: *ξύλων φορυτὸν M* | *κομίσαι* H: *κομίσαντα M* | *ᾗ δ' ἂν τὸ ὑπόρυγμα* H: *ἂν δὲ τὰ ὀρύγματα M* ‖ 13. *τῇ τάφρῳ* Iul. Afr.: *τῆς τάφρου M* | *ἐμβαλόντα* Sauppius: *ἐπιβάλλοντες M* (*ἐπιβάλλοντα* T, *ἐμβάλλοντα* Iul. Afr.) | *τὰ* ante *ξύλα* inseruit H ‖ 14. *ἅμα* H: *τὰ ἄλλα M* ‖ 15. *πορεύηται* Iul. Afric.: *πορεύσηται M* | *ποιῇ* C: *ποιῇ ἡ M* ‖ 16. *ὀρύγματι M* (*ὑπορύγματι* H) | *γὰρ* Iul. Afric.: *δὲ καὶ M* ‖ 18. *σφῆκας* O: *σφίκας M* ‖ 19. *ὀρύγματι M* (*ὑπορύγματι* H) ‖ *γνωρίσαντα* H: *ἀγνώσαιεν M* (*ἂν γνωσθῇ* vel *ἂν γνωστὸν ᾖ* O, *ἂν νοήσῃς* vel *γνῷς* vel *γνωρίσῃς* T) ‖ 20. *τόπον* C: *τρόπον M* | *ὑπορύσσουσιν* H: *ὀρύσσουσιν M*

ἐξελθόντας τινὰς ἀκροβολίζεσθαι καὶ προάγειν τῶν
πολεμίων τινάς, ὥστε συνεισδραμεῖν εἰς τὴν πόλιν.
2 τοὺς μὲν οὖν ἐκ τῆς πόλεως καταφεύγοντας εἰς τὴν
πόλιν χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὰς λελειμμένας
παρόδους εἰστρέχειν, τοὺς δὲ τῶν πολεμίων συνεισ-
τρέχοντας εἰκός ἐστι, μὴ προειδότας τὴν τάφρον,
εἰσπίπτειν καὶ φθείρεσθαι· ἔσω δὲ τῆς πόλεως ἐν τῷ
καιρῷ τούτῳ εἶναι συντεταγμένους τινὰς ἐν ταῖς
3 διόδοις καὶ † πρωτοις ορυγμασι πυλῶν χώραις. ἐὰν
δὲ πλείονες τῶν πολεμίων ἐπεισφέρωνται καὶ βούλῃ
αὐτοὺς κατασχεῖν, χρὴ ἡτοιμάσθαι ἄνωθεν ἀπὸ τοῦ
μεσοπύλου πύλην ξύλων ὡς παχυτάτων καὶ σεσιδη-
4 ρῶσθαι αὐτήν. ὅταν οὖν βούλῃ ἀπολαβεῖν τοὺς
εἰστρέχοντας πολεμίους, ταύτην ἀφιέναι ὀρθήν, καὶ
αὐτῶν τινὰς ἡ πύλη φερομένη διαφθερεῖ καὶ τοὺς
λοιποὺς σχήσει μὴ εἰσιέναι· ἅμα δὲ καὶ οἱ ἐπὶ τῷ
τείχει βαλλόντων τοὺς πρὸς ταῖς πύλαις πολεμίους.
5 χρὴ δὲ τοῖς φίλοις ἀεὶ προειρῆσθαι, ἐάν ποτε αὐτοῖς

---

1. *προάγειν* ex Iulio Afric. H: *προσάγειν* *M* ‖ 2 *τινάς* ex Iulio Afric. addid. T ‖ 4. *κατὰ* Meinekius: *παρὰ* *M* ‖ 6. *εἰκός* C: *εἴη ὃς* *M* | Post *τάφρον* in *M* est *ἅμα τε καὶ κεκρυμμένης οὔσης*: deleuit H ‖ 7. *φθείρεσθαι· ἔσω δὲ τῆς πόλεως ἐν τῷ καιρῷ τούτῳ εἶναι* H: *φθείρεσθαι ἔσω τῆς πόλεως ἐν τῷ καιρῷ τούτων δὲ εἶναι* *M* (*φθείρεσθαι· ἔσω δὲ τῆς πόλεως ἐν τῷ καιρῷ τούτῳ δεῖ εἶναι* T) ‖ 9. Locum nondum sanatum exhibui qualis in *M* est | *πρὸς τοῖς ὀρύγμασι ἐν ταῖς τῶν πυλῶν χώραις* C, *πρὸς τοῖς ὀρύγμασι καὶ πυλῶν χώραις* T; cf. II 2 *τὰς διόδους καὶ τὰ εὐρύχωρα τοῦ πολίσματος*. Certe *ὀρύγματα* huc non pertinent. Inde coniecerim *πρώταις ῥύμαις καὶ εὐρυχωρίαις* uel *πρὸς ταῖς τῆς πόλεως εὐρυχωρίαις* ‖ 10. *βούλῃ* Meierus: *βούλει* *M*; item H ‖ 11. *κατασχεῖν* H: *ἔχειν* *M* (*κατέχειν* Iul. Afric.) | *ἄνωθεν* cod. Cas.: *ἄνθεν* *M* ‖ 12. *πύλην* T: *πύλη* *M* | *ξύλων* C: *πυλῶν* *M* ‖ 13. *βούλῃ* Meierus: *βούλει* *M* | *ἀπολαβεῖν* Hertlinus: *ὑπολαβεῖν* *M* ‖ 15. *αὐτῶν* H: *αὐτή τε* *M* | *ἡ πύλη φερομένη διαφθερεῖ* O: *ἡ πολυφερομένη διαφέρει* *M* ‖ 16. *λοιποὺς* Iac. Gronouius: *πολεμίους* *M* | *οἱ* ex Iul. Afr. T: *τῶν* *M* ‖ 18. *φιλίοις* malit H, item pg. 85, 2 *φίλιοι* | *αὐτοῖς* Hertlinus: *αὖθις* *M*

μὴ δύνωνται καταπηδᾶν ἀφ᾽ ὑψηλῶν, ἀλλὰ] *πάλιν ἀπίωσι μὴ*
*ἔχοντες ὅπῃ καταβαίνωσι.* [παρὰ δὲ τὰ ᾠκοδομημένα ἔνθεν
καὶ ἔνθεν φυλασσόντων οἱ ὑπάρχοντες ἄνθρωποι, ἵνα τοὺς κατα-
2 πηδῶντας ἀπὸ τῶν ὑψηλῶν διαφθείρωσι.] *Διονύσιος δὲ πό-*
*λιν ὑποχείριον ποιησάμενος, ἀνδρῶν τῶν ἐν τῇ πόλει*
*⟨τῶν μὲν⟩ τεθνηκότων τῶν δὲ πεφευγότων, ἠθέλησε*
*κατασχεῖν· ἦν δὲ μείζων ἢ ὥστε ὑπ᾽ ὀλίγων φυ-*
3 *λάσσεσθαι. ἐπιμελητὰς μὲν οὖν τινας μετ᾽ ὀλίγων οὓς*
*ἐνεδέχετο* * *, *τῶν δὲ ἐν τῇ πόλει τὰ μέγιστα δυ-*
*ναμένων τοῖς οἰκέταις συνῴκισε τῶν δεσποτῶν τὰς*
*θυγατέρας καὶ γυναῖκας καὶ ἀδελφάς· οὕτω γὰρ*
*αὐτοὺς ᾤετο μάλιστα πολεμιωτάτους ⟨τε⟩ ἔσεσθαι τοῖς*
4 *δεσπόταις καὶ αὐτῷ πιστοτάτους. Σινωπεῖς δὲ πρὸς*
*Δαταμᾶν πολεμοῦντες ἐπεὶ ἐν κινδύνῳ ἦσαν* [καὶ]
*σπάνει ἀνδρῶν, τῶν γυναικῶν τὰς ἐπιεικεστάτας*
*μεταμορφώσαντες καὶ στολίσαντες ἐς ἄνδρας ὡς μά-*
*λιστα, ἀντὶ ὅπλων καὶ περικεφαλαίων τούς τε κάδους*
*καὶ τὰ ὁμότροπα τούτοις δόντες χαλκώματα, περιῆγον*
*τοῦ τείχους ᾗ μάλιστα οἱ πολέμιοι ὄψεσθαι ἔμελλον.*
5 *βάλλειν ⟨δὲ⟩ οὐκ εἴων αὐτάς· πόρρωθεν γὰρ κατάδηλος*
*βάλλουσα γυνή.* [ποιοῦντες δὲ ταῦτα αὐτομόλους ἐφύλασσον
6 μὴ διαγγελθῇ.] *ἐὰν δὲ θέλῃς ⟨τοὺς⟩ ἐπὶ τῷ τείχει περι-*

---

1. *πάλιν ἀπίωσι* O: *πᾶσιν ἅπασι M* ‖ 2. *παρὰ δὲ τὰ* . . . . 4. *διαφθείρωσι* inclusi ‖ 3. *οἱ ὑπάρχοντες ἄνθρωποι* ex Iul. Afr. LVII H: *ὑπαρχόντων ἀνθρώπων M* ‖ 6. *τῶν μὲν* ante *τεθνηκότων* inseruit H ‖ 9. Lacunam esse uidit Casaubonus; *ἐπέστησε* proposuit idem, *κατέστησε* H | *δυναμένων τοῖς οἰκέταις* T: *δυναμένους οἰκέτας M* ‖ 10. *συνώκισεν M* ‖ 12. *αὐτοὺς* H: *ἂν M* (*δὴ* Sauppius) | Post *πολεμιωτάτους* inserui *τε* ‖ 13. *πιστοτάτους* T: *πιστοτέρους M* | *Σινωπεὶς M* |(*Σινωπῆς* malit H) ‖ 14. *καὶ* inclusit Schaeferus Philol. XXXI 185 ‖ 15. *τὰς ἐπιεικεστάτας μεταμορφώσαντες* H: *τὰ ἐπιεικέστατα σώματα μορφώσαντες M* ‖ 16. *καὶ στολίσαντες ἐς ἄνδρας ὡς μάλιστα* H: *καὶ ὁπλίσαντες ὡς ἐς ἄνδρας μάλιστα M* ‖ 20. *δὲ* post *βάλλειν* add. C ‖ 21. *ποιοῦντες* — 22. *διαγγελθῇ* inclusi. Cf. ad XXIII 6 et 1. | *τοὺς* add. H